Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ ἐπικληθεὶς Νηστευτὴς ἐγεννήθη ἐν Κωνσταντινουπόλει. Ὑπῆρχε δὲ ἐπὶ Ἰουστίνου καὶ Τιβερίου καὶ Μαυρικίου τῶν βασιλέων. Χαράκτης δὲ ὢν τὴν τέχνην, διὰ τὴν πολλὴν αὐτοῦ ἀρετὴν, Πατριάρχης γέγονε τῆς αὐτῆς μεγαλοπόλεως· ἐγένετο δὲ φιλόπτωχος, καὶ ἐλεήμων, καὶ συμπαθής. Ἀλλὰ καὶ πολλὰ θαύματα ἐποίησε· καὶ γὰρ διὰ προσευχῆς βαρβαρικὸν λαὸν ἐκ τῆς Μακεδονίας ἀπεδίωξε, καὶ μεγάλου θανάτου τὴν πόλιν ἐῤῥύσατο, καὶ πολλοὺς νοσοῦντας ἐθεράπευσε, καὶ δαιμονῶντας ἰάσατο, καὶ λόγους ψυχωφελεῖς, ὡς ὁ μέγας Χρυσόστομος Ἰωάννης, συνεγράψατο. Ποιμάνας δὲ τὸν λαὸν αὐτοῦ ὁσίως καὶ φιλοθέως, καὶ τὴν ἱερὰν ἐκκλησίαν καλῶς διακυβερνήσας ἐπὶ ἔτη δέκα καὶ τρία, καὶ μῆνας πέντε, καὶ εἰς βαθὺ γῆρας ἐλθὼν, ἐν εἰρήνῃ τὴν μακαρίαν καὶ ἁγίαν αὐτοῦ ψυχὴν παραδοὺς τῷ Κυρίῳ, ἐτάφη, ὑπόδειγμα ἀπολιπὼν πᾶσιν ἀνθρώποις τὸν ἐνάρετον αὐτοῦ βίον, καὶ τὰ λοιπὰ κατορθώματα.

Digitized by Google



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Γʹ.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ἀνθίμου Ἐπισκόπου Νικομηδείας.

Ἄνθιμος ὁ Ἱερομάρτυς, ἦν μὲν Ἐπίσκοπος Νικομηδείας ἐπὶ τῶν χρόνων Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ· διὰ δὲ τὸν διωγμὸν κατὰ τῶν Χριστιανῶν κρυπτόμενος ἐν τῷ ὄρει, καταμηνύεται τῷ Μαξιμιανῷ. Καὶ κρατηθεὶς, πρῶτα μὲν λίθοις τὸν αὐχένα συντρίβεται. Ἔπειτα δὲ σιδήροις πεπυρακτωμένοις τοὺς ἀστραγάλους διατρυπᾶται. Εἶτα πάλιν εἰς ὄστρακα ὀξέα τίθεται, ῥάβδοις τυπτόμενος ἀκανθίνοις, καὶ ὑποδήματα σιδηρᾶ πυρακτωθέντα περιβάλλεται μέχρι τῶν μηρῶν. Καὶ μετὰ τοῦτο δεσμεῖται ἐπὶ τροχοῦ, καὶ ὑπὸ λαμπάδων καίεται. Οὕτω δὲ πικρῶς βασανιζομένου τοῦ ἁγίου, ἐπῆλθον Ἄγγελοι θεῖοι, αὐτῷ μὲν τὰς κολάσεις καὶ τὰς βασάνους ἀκόλως ποιοῦντες, τοὺς δὲ δημίους τοὺς τιμωροῦντας αὐτὸν ἀοράτως τύπτοντες. Καὶ λοιπὸν ἀποφάσει τοῦ Μαξιμιανοῦ τέμνεται τὴν κεφαλὴν μαχαίρᾳ. Ἥτις κεῖται μὲν ἐν Νικομηδείᾳ, θαυματουργεῖ δὲ ἄλλοτε πολλὰ, καὶ δὴ καὶ τῶν τριχῶν παράδοξον ἔκφυσιν.

Τῇ

EODEM MENSE

Die Tertia. 3.

Certamen Sacroſancti Martyris Anthimi Epiſcopi Nicomediæ.

Anthimus ſacer Martyr fuit Nicomediæ Epiſcopus temporibus Diocletiani, & Maximiani. Propter motam autem in Chriſtianos perſecutionem cùm ſe in montis cujuſdam latebras abdidiſſet, Maximiano proditus, ejuſque juſſu comprehenſus, primum quidem ſaxis in cervice contunditur: deinde candenti ferro ejus tali perforantur: poſtea ſuper acutis teſtulis impoſitus, virgis ſpineis cæditur. Ad hæc calceamentis ferreis candentibus uſque ad femora induitur: mox rotæ alligatus, facibus aduritur. Sed cùm ita immaniter ſanctus vir torqueretur, ſupervenerunt divini Angeli, qui ſicut ei ſupplicia, cruciatuſque leniebant; ita lictores, qui ipſum excruciabant, inviſibiliter cædebant. Tandem Maximiani ſententia caput ei gladio amputatum fuit, quod in urbe Nicomedia poſitum, cùm multa alia miracula facit, tùm capillos ſubinde naſcentes admirabiliter emittit.

S. Anthimus Epiſc. Nicomediæ.

B Eo-



Eodem die

Certamen Sanctæ Virginis, & Martyris Baſiliſſæ.

S. Baſiliſſa V. & M. Baſiliſſa Martyr fuit temporibus Diocletiani. Cùm autem prope urbem Nicomediam domicilium haberet, nonumque ætatis ſuæ annum ageret, tamquam Chriſtiana delata, Alexandro Præſidi ſiſtitur: & Chriſtum confidenti animo profeſſa, primum quidem colaphis cæditur; deinde nudata, virgis percutitur, taliſque perforatur. Mox inverſo capite in ligno ſuſpenſa, catenis conſtricta, picis, ſulphuris, ac plumbi fumo torquetur. Poſt hæc in ignem conjecta, duobuſque leonibus objecta, cùm nullam noxam paſſa fuiſſet, Præſidi perſuaſit, ut in Chriſtum crederet. Et ille quidem vitam rectè traducens, in pace deceſſit. At hæc egreſſa ex urbe, cùm ſitiret, oravit, & manantibus è terra aquis ſitim depulit. Deinde ſtans ſupra petram, & orans, finem vivendi fecit: ibique ſepulta, omnibus fidelibus per aquas è terra erumpentes ſingulis diebus curationes admirabiliter præſtat.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας παρθένου καὶ Μάρτυρος Βασιλίσσης.

Βασίλισσα ἡ Μάρτυς, ἦν μὲν ἐπὶ τῶν χρόνων Διοκλητιανοῦ· εἶχε δὲ τὴν οἴκησιν πλησίον τῆς πόλεως Νικομηδείας, ἐννέα ἐτῶν ὑπάρχουσα. Διαβληθεῖσα δὲ ὡς Χριστιανὴ, παρέστη Ἀλεξάνδρῳ τῷ Ἄρχοντι. Καὶ μετὰ παῤῥησίας ὁμολογήσασα τὸν Χριστὸν, πρῶτα μὲν τύπτεται κατὰ τοῦ προσώπου, καὶ γυμνωθεῖσα ῥαβδίζεται. Εἶτα τρυπᾶται τοὺς ἀστραγάλους. Καὶ κρεμασθεῖσα κατὰ κεφαλῆς ἐπὶ ξύλου, δεδεμένη ἁλύσεσι, μετὰ πίσσης, καὶ θεαφίου, καὶ μολύβδου καπνίζεται. Καὶ μετὰ τοῦτο ἐμβληθεῖσα εἰς πῦρ, καὶ δυσὶ λέουσι παραδοθεῖσα, καὶ διαμείνασα ἀβλαβὴς, ἔπεισε τὸν Ἄρχοντα πιστεῦσαι εἰς τὸν Χριστόν. Καὶ αὐτὸς μὲν καλῶς βιώσας ἐν εἰρήνῃ ἐτελειώθη. Αὐτὴ δὲ ἐξελθοῦσα τῆς πόλεως, καὶ διψήσασα, ηὔξατο, Καὶ ἐξῆλθεν ὕδωρ ἐκ τῆς γῆς, καὶ ἔπιεν. Εἶτα στᾶσα ἐπάνω πέτρας, καὶ εὐξαμένη ἐτελεύτησεν. Ἔνθα δὴ καὶ ἐτάφη, ἰάματα πᾶσι τοῖς πιστοῖς καθεκάστην, διὰ τῶν ἐκ τῆς γῆς ἀναβλυσάντων ὑδάτων, παραδόξως παρέχουσα.



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ἀριστίωνος Ἐπισκόπου Ἀλεξανδρείας.

Ὁ Ἅγιος Μάρτυς Ἀριστίων, ὑπῆρχε μὲν Ἐπίσκοπος Ἀλεξανδρείας· ἐδίδασκε δὲ παῤῥησίᾳ, καὶ ἐκήρυττε τὴν τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκον παρουσίαν, καὶ τὴν αἰώνιον αὐτοῦ βασιλείαν, ἔτι δὲ μακαριότητα καὶ χαρὰν τῆς τῶν οὐρανῶν βασιλείας, καὶ ὡς ἡ μὲν τῶν ἀνθρώπων ἐνταῦθα δόξα, καὶ τὰ ἀξιώματα, καὶ ὁ πλοῦτος ἐν φθορᾷ ὑπάρχουσι, καὶ ἀφανίζονται· ἀδιάφθαρτα δὲ τὰ ἐκείνων ἀγαθὰ, καὶ ἡ ζωὴ ἀθάνατος. Οὕτω διδάσκων, καὶ πολλοὺς τῶν ἑλλήνων πείθων, καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφων, καὶ βαπτίζων, ἐκρατήθη παρὰ τοῦ τῆς Ἀλεξανδρείας Ἄρχοντος. Καὶ ὁμολογήσας τὸν Χριστὸν, παρεδόθη πυρί. Καὶ οὕτως ἐν τῇ καμίνῳ, ὥσπερ οἱ τρεῖς ἅγιοι παῖδες, δοξάζων, καὶ μεγαλύνων τὸν Θεὸν, τὸ μακάριον καὶ ποθούμενον τέλος ἐδέξατο, ἀπολαβὼν τὸν στέφανον τῆς ἀφθάρτου ζωῆς. Καὶ τὸ μὲν τίμιον αὐτοῦ λείψανον παρεδόθη τῇ γῇ. Ἡ δὲ ἁγία αὐτοῦ ψυχὴ ἀνελθοῦσα ἐν οὐρανοῖς, μετὰ τῶν ἁγίων εὐφραίνεται.

Eodem die

Certamen Sacroſancti Martyris Ariſtionis Epiſcopi Alexandriæ.

Sanctus Martyr Ariſtion fuit Alexandriæ Epiſcopus. Docebat autem ſumma cum libertate, & prædicabat Domini noſtri Jeſu Chriſti in carne adventum, æternumque ejus regnum: ad hæc felicitatem & gaudium regni cœlorum; & quod hæc hominum gloria, & dignitates, & divitiæ, corruptioni obnoxiæ ſunt, & evaneſcunt; illa verò bona incorruptibilia ſunt, eaque vita immortalis. Hæc docens, cùm multis Græcorum perſuaderet, eoſque ad Deum converteret, atque baptizaret, captus ſiſtitur Alexandriæ Præfecto: confeſſusque Chriſtum, igni traditur: atque ita in camino, velut tres illi ſancti pueri, laudans & magnificans Deum, beatum optatumque finem accepit, incorruptibilis vitæ coronam adeptus. Et pretioſæ quidem ejus reliquiæ terræ commendatæ ſunt; ſancta verò ipſius anima ad cœlos aſcendens, unà cum Sanctis lætatur. S. Ariſtion Epiſc. Alexandriæ.



EODEM MENSE

Die Quarta.

4. *Certamen ſacroſancti Martyris Babylæ Patriarchæ Antiocheni, & Puerorum ſociorum ejus.*

B. Babylas Patriarcha Antiochiæ, & Pueri ſocii ejus.

SAcroſanctus Chriſti martyr Babylas, Numeriano Romanorum Imperatore, Antiochiæ magnæ Patriarcha fuit. Cùm autem ipſe Numerianus templum Dei ingredi vellet, obviam illi factus ad portam eccleſiæ, prohibuit, ne ingrederetur, quod idolorum cultor eſſet. Quare confuſus Imperator, ſimul & vehementi ira percitus, juſſit illum ſibi poſtero die ſiſti; quem cùm ad Chriſtum negandum inducere non poſſet, quin potius ipſe ab eo redargueretur, mandavit illius collo immane ferri pondus imponi, perque mediam civitatem ipſum circumduci. Tùm verò ait ei: Per deos, Babyla, decet te iſte torques. Cui Babylas: Sic me decet, ò Imperator, ut te dedecet diadema. Tunc Numerianus ſententiam pronunciavit adverſus eum, & adverſus pueros, qui ab eo inſtituebantur. Cùm illos igitur accepiſſent milites, jugularunt. Atque ita ſanctus à piis Chriſtianis ſepultus eſt extra urbem Antiochiæ unà cum circumpoſitis ipſi catenis, quas propter Chriſtum pertulerat.

Eo-

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Δ'.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Βαβύλου Πατριάρχου Ἀντιοχείας, καὶ τῶν σὺν αὐτῷ νηπίων.

Ὁ ἅγιος Ἱερομάρτυς τοῦ Χριστοῦ Βαβύλας Πατριάρχης ἦν Ἀντιοχείας τῆς μεγάλης, ἐπὶ Νουμεριανοῦ τοῦ Ῥωμαίων βασιλέως. Θέλοντα δὲ εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Θεοῦ τὸν Νουμεριανὸν, ὑπαντήσας εἰς τὴν πύλην τῆς ἐκκλησίας, ἐκώλυσε τοῦ εἰσελθεῖν, διὰ τὸ ὑπάρχειν αὐτὸν εἰδωλολάτρην. Ὅθεν αἰσχυνθεὶς ὁ βασιλεὺς καὶ ὀργισθεὶς, ἤγαγεν αὐτὸν ἐπὶ τὴν αὔριον ἐνώπιον αὐτοῦ, καὶ καταναγκάσας ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πείσας, ἀλλὰ μᾶλλον ἐλεγχθεὶς ὑπ' αὐτοῦ, ἐκέλευσε περιτεθῆναι τῷ τραχήλῳ αὐτοῦ σίδηρα βαρέα, καὶ διὰ τῆς μέσης ἄγεσθαι· καὶ λέγει αὐτῷ· μὰ τοὺς θεοὺς, Βαβύλα, πρέπει σοι ὁ κλοιός. Ὁ δὲ εἶπεν· οὕτω μοι πρέπει βασιλεῦ, ὡς οὐδέ σοι τὸ διάδημα. Τότε ἀπεφήνατο ὁ Νουμεριανὸς κατ' αὐτοῦ, καὶ τῶν διδασκομένων ὑπ' αὐτοῦ παιδίων. Τότε λαβόντες αὐτοὺς οἱ στρατιῶται, ἀπέσφαξαν. Καὶ οὕτως ἐτάφη ὁ ἅγιος παρὰ εὐλαβῶν Χριστιανῶν, ἔξω τῆς πόλεως Ἀντιοχείας, μετὰ τῶν περικειμένων αὐτῷ κλοιῶν, οὓς διὰ Χριστὸν ἐφόρεσεν.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων μαρτύρων Θεοδώρου, Ὠκεανοῦ, Ἀμιανοῦ, καὶ Ἰουλιανοῦ.

Οὗτοι οἱ ἅγιοι μάρτυρες ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως. Κρατηθέντες δὲ καὶ ἐρωτηθέντες, ὡμολόγησαν τὸν δεσπότην Χριστόν. Καὶ διὰ τοῦτο κρεμασθέντες ἐξέσθησαν μέχρις ὀστέων. Ἔπειτα ἐνεβλήθησαν εἰς λουτρὸν ἐκπυρωθὲν ἰσχυρῶς, καὶ σφραγισθὲν τῇ σφραγίδι τοῦ βασιλέως, διὰ τὸ μὴ ἐξελθεῖν αὐτοὺς ἀπ᾽ αὐτοῦ, ἀλλὰ ἀποθανεῖν ἐν αὐτῷ. Ἄγγελος δὲ Κυρίου ἐξήγαγεν αὐτοὺς ἀβλαβεῖς, ἠσφαλισμένων καὶ ἐσφραγισμένων τῶν θυρῶν. Καὶ πάλιν κρατηθέντες, ἀπάγονται ἔξω τῆς πόλεως ἐν ἐρήμῳ τόπῳ τοῦ πικρῶς φονευθῆναι. Αἰτησάμενοι δὲ ὥραν προσευχῆς χαρίσασθαι αὐτοῖς τοὺς δημίους, καὶ τυχόντες τῆς αἰτήσεως, στάντες ἐπὶ πολὺ προσηύξαντο τῷ Θεῷ, ὑπὲρ τῆς οἰκουμενικῆς καταστάσεως, καὶ τῶν ἁγίων ἐκκλησιῶν· καὶ ηὐχαρίστησαν αὐτῷ, ὅτι ἠξιώθησαν τοῦ μαρτυρῆσαι δι᾽ αὐτόν. Καὶ οὕτω κατακοπέντες πάντα τὰ μέλη, καὶ τὰ σκέλη συντριβέντες, ἐνεβλήθησαν εἰς πῦρ, καὶ οὕτως ἐτελειώθησαν.

Eodem die

Certamen Sanctorum Martyrum Theodori, Oceani, Amiani, & Juliani.

HI ſancti martyres floruere Maximiano Imperatore. Comprehenſi autem, & interrogati, cùm Chriſtum Dominum confiterentur, ſuſpenſi, depexique ad oſſa fuere: deinde in ferventiſſimum balneum, ſigillo Imperatoris obſignatum, ne inde exire poſſent, ſed interire ibi cogerentur, detruſi. Sed Angelus Domini eos illæſos, foribus è peſſulo firmatis, & obſignatis, eduxit. Rurſus autem capti, abducuntur extra urbem in deſertum locum, ut truculenter interficerentur: ubi petita, & impetrata à carnificibus ad orandum hora, ſtantes multum precati ſunt Deum, primum quidem pro totius orbis conſtitutione, ſanctarumque eccleſiarum tranquillitate: deinde gratias eidem egerunt, quod digni habiti eſſent, qui martyrium pro ipſo ſubirent. Atque ita præciſis ſingulis membris, cruribuſque confractis, in ignem injecti, finem vivendi fecerunt. SS. Theodorus, Oceanus, Amianus, & Julianus MM.



Eodem die

Certamen Sanctæ Martyris Hermiones filiæ Sancti Philippi Apoſtoli.

S. Hermione filia Philippi Apoſtoli.

SAncta martyr Hermione filia Philippi Apoſtoli floruit Trajano Imperatore. Habuit autem ſororem nomine Eutychen, cum qua Epheſum perrexit, ut Joannem Theologum adorarent: non tamen invenerunt eum: translatus enim jam fuerat. Venit autem & Trajanus Imperator Epheſum ad Perſicam expeditionem, audivitque nomen Hermiones percelebre, ac venerandum eo, quod prophetico eſſet afflata ſpiritu. Comprehenſam igitur cùm à Chriſti cultu abducere non poſſet, jubet illi alapas incuti: cui Dominus apparens, addidit animum, confirmavitque, ut tormenta fortiter perferret. Sed paulo poſt à Trajano dimittitur, quod ei prædixiſſet fore, ut de Perſis triumpharet. Adrianus verò gener, & ſucceſſor Trajani comprehenſam iterum cogit Chriſtum abnegare, idoliſque ſacrificare. Quod cùm illa facere renuiſſet, juſſit amputari ejus caput. Areſcentibus verò carnificum manibus, ipſi etiam in Chriſtum crediderunt, atque unà cum illa capite plexi ſunt.

Eo-

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἑρμιόνης θυγατρὸς τοῦ ἁγίου Φιλίππου τοῦ Ἀποςόλου.

Η Ἁγία Μάρτυς Ἑρμιόνη, ὑπῆρχε μὲν ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως, ἦν δὲ θυγάτηρ Φιλίππου τοῦ Ἀποςόλου. Ἦν δὲ αὐτῇ ἀδελφὴ καλουμένη Εὐτυχής. Καὶ παρεγένοντο αἱ δύο εἰς Ἔφεσον, προσκυνῆσαι τὸν Θεολόγον Ἰωάννην, καὶ οὐχ εὗρον αὐτόν. Μετετέθη γὰρ ἤδη. Ἐλθὼν δὲ καὶ Τραϊανὸς ὁ βασιλεὺς εἰς Ἔφεσον, πρὸς τὸν κατὰ τῶν Περσῶν πόλεμον, εὗρε τὸ ὄνομα τῆς ἁγίας Ἑρμιόνης μέγα ἐπ᾽ εὐσεβείᾳ. Καὶ γὰρ ἦν προφητεύουσα· καὶ κρατήσας αὐτὴν, καὶ καταναγκάσας ἀρνήσασθαι τὸν Χριςὸν, ὡς οὐκ ἔπεισε, κελεύει τύπτεσθαι αὐτὴν κατὰ τοῦ προσώπου. Ἐπιφανεὶς δὲ ὁ Κύριος, ἐνίσχυσεν αὐτὴν καρτερεῖν πρὸς τὰς βασάνους. Μετὰ ταῦτα δὲ προφητεύουσα περὶ Τραϊανοῦ, ὅτι νικήσει τοὺς Πέρσας, τότε μὲν ἀπελύθη. Μετὰ δὲ Τραϊανὸν κρατήσας τῆς βασιλείας ὁ γαμβρὸς αὐτοῦ Ἀδριανὸς, κατέσχεν αὐτήν. Καὶ καταναγκάσας ἀρνήσασθαι μὲν τὸν Χριςὸν, θῦσαι δὲ τοῖς εἰδώλοις, καὶ μὴ πείσας, προσέταξεν ἀποκεφαλισθῆναι. Ξηρανθεισῶν δὲ τῶν χειρῶν τῶν δημίων, ἐπίςευσαν, καὶ σὺν αὐτῇ ἀπεκεφαλίσθησαν.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου Μωσέως τοῦ Νομοθέτου.

Μωϋσῆς ὁ Προφήτης καὶ Νομοθέτης, γέγονεν υἱὸς ἑνὸς τῶν Ἑβραίων, γεννηθεὶς ἐν Αἰγύπτῳ. Ἐπεὶ δὲ πρόσταγμα ἦν τοῦ Φαραὼ βασιλέως Αἰγύπτου, τὰ μὲν θηλυκὰ τῶν Ἑβραίων βρεφῶν περιποιεῖσθαι, τὰ δὲ ἀρσενικὰ φονεύεσθαι, ἐνέβαλεν εἰς συρτάριον ἡ μήτηρ αὐτοῦ τὸν Μωϋσῆν, καὶ ἔρριψεν εἰς ποταμόν. Κατέβη δὲ ἡ θυγάτηρ Φαραὼ λούσασθαι εἰς τὸν ποταμόν. Καὶ ἰδοῦσα τὸ συρτάριον, καὶ τὸ παιδίον ἐν αὐτῷ κλαῖον, ἀνελάβετο αὐτὸ εἰς υἱόν. Καὶ ἐδίδαξεν αὐτῷ πᾶσαν σοφίαν Αἰγυπτίων. Αὐξηθέντι δὲ αὐτῷ ἐφάνη ὁ Θεὸς, καὶ προσέταξεν ἐξαγαγεῖν τὸν λαὸν τῶν Ἑβραίων ἐκ τῆς Αἰγύπτου· ἐξαγαγὼν οὖν τὸν λαὸν, καὶ πολλὰ σημεῖα καὶ τέρατα ποιήσας, καὶ θάλασσαν τεμὼν, καὶ διὰ ξηρᾶς περάσας, καὶ πέτραν τῇ ῥάβδῳ κρούσας, καὶ ὕδωρ ἐξ αὐτῆς ἀναβλύσαι ποιήσας, καὶ τεσσαράκοντα ἔτη στρατηγήσας, πρὸ ἐτῶν χιλίων τετρακοσίων ὀγδοηκονταπέντε τῆς Χριστοῦ ἀναστάσεως ἐτελεύτησε. Καὶ ἐτάφη ἐν ὄρει τινὶ τῆς ἐρήμου παρὰ Μιχαὴλ τοῦ μεγάλου Ἀρχιστρατήγου τοῦ Θεοῦ.

Eodem die

Memoria Sancti Moyſis Legislatoris.

Moyſes Propheta & Legiſlator patre Hebræo natus in Ægypto eſt. Hunc, cùm Pharao Rex Ægypti præcepiſſet, ut Hebræorum gentis maſculi quidem infantes interimerentur, feminæ verò ſervarentur, marer fiſcella incluſum in fluvium projecit. Sed cùm Pharaonis filia, ut lavaretur, ad flumen veniſſet, fiſcellam conſpicata, & infantem in illa plorantem, eum in filium ſibi adoptavit, inſtituendumque omni Ægypriorum ſcientia curavit. Adulto apparuit Deus, mandavitque, ut Hebræorum populum ex Ægypto educeret. Cùm igitur populum eduxiſſet, & multa ſigna atque prodigia edidiſſet, mareque medium ſcidiſſet, perque aridam tranſiiſſet; petram etiam virga percutiens, aquas inde elicuiſſet; quadraginta demum annos militiæ præfuiſſet; annis ante Chriſti reſurrectionem mille quadringentis octoginta quinque mortuus eſt, ſepultuſque in quodam eremi monte à Michaële magno militiæ Dei Principe. S. Moyſes Propheta.



EODEM MENSE

Die Quinta.

5. *Memoria Sancti Prophetæ Zachariæ patris Joannis Baptiſtæ.*

S. Zacharias pater Joannis Baptiſtæ.

ZAcharias ſacerdos pater Joannis Præcurſoris, ſacerdotis & ipſe filius, ingreſſus templum, ut thus adoleret, cùm vidiſſet Angelum Dei ſtantem juxta altare thymiamatis, ſibi prædicentem fore, ut conciperetur, & naſceretur ſibi filius Joannes Baptiſta, neque ejus voci fidem adhiberet, ſurdus illico, & mutus redditus eſt, quoad nato Joanne ſoluta ſunt ejus linguæ vincula, Audiens autem mater Joannis Herodem Judæorum regem cogitaſſe infantes Bethlehemitas trucidare, ut Dominus noſter Jeſus Chriſtus unà cum ceteris occideretur, ſexto ab ejus nativitate menſe Joannem in ſpecu trans Jordanem abdidit. Herodes verò quæſito, & non invento puero, Zachariam ejus patrem in medio altaris, quo ſibi metuens confugerat, jugulari juſſit, atque ejus ſanguine templum aſpergi, Jugulatus eſt igitur, ejuſque cadaver de prærupta rupe abjecerunt. Reliquias propinqui ejus collegere, atque in ſepulcrum patrum intulere.

Eo-

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Ε'.

Μνήμη τοῦ ἁγίου Προφήτου Ζαχαρίου τοῦ πατρὸς Ἰωάννου τοῦ Βαπτιστοῦ.

ΖΑχαρίας ὁ ἱερεὺς, ὁ πατὴρ Ἰωάννου τοῦ Προδρόμου, ὑπῆρχε μὲν καὶ αὐτὸς υἱὸς ἱερέως· εἰσελθὼν δὲ ἐν τῷ ναῷ τοῦ θυμιάσαι, εἶδεν Ἄγγελον Θεοῦ ἑστῶτα πλησίον τοῦ θυσιαστηρίου τοῦ θυμιάματος, καὶ μηνύοντα αὐτῷ τὴν σύλληψιν καὶ γέννησιν τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ· ἀπιστήσας δὲ, κωφὸς καὶ ἄλαλος γέγονε. Μετὰ δὲ τὸ γεννηθῆναι τὸν Ἰωάννην, ἐλάλησεν. Ἀκούσασα δὲ ἡ μήτηρ Ἰωάννου, ὅτι μέλλει Ἡρώδης ὁ τῶν Ἰουδαίων βασιλεὺς φονεύειν τὰ ἐν Βηθλεὲμ βρέφη, βουλόμενος καὶ σὺν αὐτοῖς φονεῦσαι καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τότε μετὰ μῆνας ἓξ τῆς αὐτοῦ κυήσεως, ἔκρυψεν αὐτὸν ἐν τῷ σπηλαίῳ πέραν τοῦ Ἰορδάνου. Ἐπιζητήσας δὲ τοῦτον ὁ Ἡρώδης, καὶ μὴ εὑρὼν, προσέταξε σφαγῆναι τὸν πατέρα αὐτοῦ Ζαχαρίαν μέσον τοῦ θυσιαστηρίου, ὅτι ἐκεῖ προσέφυγε φοβηθεὶς, καὶ χεθῆναι τὸ αἷμα αὐτοῦ εἰς τὸν ναόν. Ἐσφάγη οὖν, καὶ ἔρριψαν αὐτὸν ἐν τῷ κρημνῷ. Οἱ δὲ συγγενεῖς αὐτοῦ ἀναλαβόμενοι τὸ λείψανον αὐτοῦ, κατέθεντο ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ἀβδιοῦ.

Ὁ ἅγιος Μάρτυς Ἀβδιοῦ, ἦν μὲν ἐκ τῆς χώρας τῶν Περσῶν· Χριστιανὸς δὲ ὑπάρχων, ἐδίδασκε πάντας, καὶ διὰ παραινέσεως ἔπειθε προσέρχεσθαι τῇ ἀληθινῇ πίστει τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Κρατηθεὶς δὲ διὰ τοῦτο παρὰ τοῦ Ἄρχοντος τῶν μάγων, καὶ ἀναγκασθεὶς ἀρνήσασθαι μὲν τὸν Χριστὸν, προσκυνῆσαι δὲ τῷ ἡλίῳ, καὶ τῷ πυρί· ταῦτα γὰρ εἶχον, ὡς θεοὺς, οἱ Πέρσαι· καὶ μὴ πεισθεὶς, τύπτεται κατὰ τῆς κοιλίας, καὶ τῶν ψυῶν μετὰ ῥαβδίων ῥοΐνων ἀκαθαρίστων. Καὶ οὕτως, ἀπὸ πρωΐας ἕως μεσυμβρίας, τυπτόμενος, καὶ τιμωρούμενος, ἀπῆλθε βασαζόμενος ὑπὸ δημίων, καὶ ἐτέθη ἐν τῷ οἴκῳ αὐτοῦ, ὥσπερ νεκρός. Καὶ μετὰ μικρὸν παρέδωκε τῷ Κυρίῳ τὴν ἁγίαν καὶ μακαρίαν αὐτοῦ ψυχὴν, χαίρων καὶ ἀγαλλιώμενος μέχρι τῆς τελευταίας ἀναπνοῆς, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μαρτυρῆσαι, καὶ ἀποθανεῖν ἠξιώθη. Μετὰ δὲ τοῦτο, τὸ τίμιον αὐτοῦ λείψανον λαβόντες τινὲς τῶν Χριστιανῶν, κατέθεντο ἐν τάφῳ.

Eodem die

Certamen Sancti Martyris Abdiæ.

Sanctus Martyr Abdias natione Perſa, profeſſione Chriſtianus, cùm daret omnem operam, ut doceret omnes, atque adhortationibus ſuis ad veram Salvatoris noſtri Jeſu Chriſti fidem ſuſcipiendam induceret, captus à Magorum principe, jubetur abjurato Chriſto ſolem & ignem adorare: hos enim tamquam deos Perſæ colebant. Quod ille execratus, aſperis malorum punicorum virgis in ventre, lumbiſque cæditur. Atque ita à mane ad meridiem verberatus & cruciatus, ſuccollantibus lictoribus in domum ſuam ſemivivus deportatur: & paulo poſt Domino ſanctam beatamque animam ſuam tradidit, ſummam animi ad extremum uſque ſpiritum præſeferens lætitiam, quod dignus habitus eſſet, qui pro Domini noſtri Jeſu Chriſti nomine martyrium mortemque ſubiret. Poſt hæc pretioſas ejus reliquias Chriſtiani accipientes, ſepulcro condidere. S. Abdias Martyr.



Eodem die

Certamen Sanctorum Martyrum Thuthaëlis, & Babææ ſororis ejus.

SS. Thuthaël, & Babæa ſoror ejus, MM.

SAnctus, multorumque certaminum Chriſti Martyr Thuthaël, Babæaque ejus ſoror, cùm Chriſtiani eſſent, & ſumma dicendi libertate Dominum noſtrum Jeſum Chriſtum eſſe verum Deum, mundique totius dominum, creatorem, & gubernatorem profiterentur, Græcoſque multos ab idolorum errore abductos ad veram fidem traducerent, & baptizarent; retenti ab impiis idololatris, ab iis graviſſimè cæſi, multiſque tormentis vexati ſunt. Tandem Thuthaël in ligno ſuſpenſus, & vinctus, ſerra ferrea ſecatur medius: atque ita animam emiſit. Ejus autem ſoror Babæa primum nudata, flagriſque duriſſimè cæſa, tùm ſcalpta uſque ad oſſa, denique haſtili in cervice percuſſa, jugulatur. Quorum corpora qui ab eis chriſtianam fidem edocti erant, occultè ſublata, ſepelierunt honorificè ad gloriam Domini noſtri Jeſu Chriſti.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Θουθαὴλ, καὶ Βαβαίας τῆς ἀδελφῆς αὐτοῦ.

Ὁ Ἅγιος, καὶ πολύαθλος Μάρτυς τοῦ Χριστοῦ Θουθαὴλ, καὶ Βαβαία ἡ ἀδελφὴ αὐτοῦ, Χριστιανοὶ ὄντες, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μετὰ παῤῥησίας ὁμολογοῦντες Θεὸν ἀληθινὸν εἶναι, καὶ κύριον τοῦ παντὸς κόσμου, καὶ δημιουργὸν καὶ προνοητήν· καὶ πολλοὺς τῶν ἑλλήνων ἀπὸ τῆς πλάνης τῶν εἰδώλων ἐπιστρέφοντες, καὶ πρὸς τὴν ἀληθινὴν πίστιν ἐπιστρέφοντες καὶ βαπτίζοντες, ἐκρατήθησαν παρὰ τῶν δυσσεβῶν εἰδωλολατρῶν. Καὶ τὰ πολλὰ παρ᾽ αὐτῶν τυφθέντες, καὶ βασανισθέντες, τελευταῖον ὁ μὲν ἅγιος Θουθαὴλ ἐπὶ ξύλου κρεμασθεὶς, καὶ δεθεὶς ἐσχίσθη εἰς μέσον μετὰ σιδηροῦ πρίονος· καὶ οὕτω παρέδωκε τὴν ψυχήν. Ἡ δὲ ἀδελφὴ αὐτοῦ Βαβαία γυμνωθεῖσα πρότερον, καὶ τυφθεῖσα ἰσχυρῶς, καὶ ξεσθεῖσα μέχρις ὀστέων, ὕστερον μετὰ τοῦ κονταρίου κατὰ τοῦ τραχήλου πληγὴν δεξαμένη, ἀποσφάζεται. Τελειωθέντων δὲ οὕτως ἀμφοτέρων, τὰ σώματα αὐτῶν ἀνελόμενοι κρύφα οἱ παρ᾽ αὐτῶν γενόμενοι Χριστιανοὶ, ἔθαψαν ἐντίμως εἰς δόξαν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.



ΜΗΝΙ ΤΩ͂ ΑΥΤΩ͂

ϛ'.

Ἡ ἀνάμνησις τοῦ ἐν Χωναῖς θαύματος τοῦ μεγάλου Ἀρχιστρατήγου τοῦ Θεοῦ.

ἘΝ τῇ καλουμένῃ νῦν μὲν τῶν Χωνῶν πόλει, πρότερον δὲ Κωλασσαέων, ὑπῆρχε ἀνήρ τις ὄνομα Ἄρχιππος, εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν. Οὗτος προσκαθεζόμενος ἐν τῷ ὕδατι, τῷ διὰ τῆς ἐπισκέψεως τοῦ μεγάλου Ἀρχιστρατήγου ἀναβρύοντι, καὶ διὰ τὰ γενόμενα διὰ τοῦ ὕδατος θαύματα, πολλοὺς τῶν ἀπίστων ἐπιστρέφων καὶ βαπτίζων, ἐκίνησε πρὸς φθόνον τοὺς Ἕλληνας, μὴ φέροντας βλέπειν τὰ παράδοξα θαύματα. Βρύχοντες οὖν τοὺς ὀδόντας κατὰ τοῦ σεπτοῦ ἁγιάσματος, καὶ τοῦ ὁσίου Ἀρχίππου, συναχθέντες ἄπειρα πλήθη, καὶ δήσαντες δύο μεγάλους ποταμοὺς, καὶ μίξαντες ἀμφοτέρους, ἀπέλυσαν ἀθέως τοῦ καταστρέψαι τὸν ναὸν, καὶ τὸ ἁγίασμα, καὶ τὸν Ἄρχιππον. Ὡς δὲ ἤκουσεν ὁ Ἄρχιππος τοῦ βρυγμοῦ τῶν ὑδάτων, παρεκάλεσε τὸν Ἀρχιστράτηγον βοηθῆσαι. Καὶ εὐθέως φανεὶς ἔκρουσε τὴν πέτραν μετὰ τῆς ῥάβδου, ἧς κατεῖχε, καὶ ἐχώνωσε τὰ ὕδατα ἐν αὐτῇ. Καὶ ἐκλήθη ὁ τόπος ἐκ τότε Χῶναι.

Τῇ

EODEM MENSE

Die Sexta. 6.

Memoria miraculi apud Chonas à magno Dei Archiſtratego editi.

IN ea urbe, quæ nunc Chonæ, olim autem Colaſſa dicebatur, vir quidam pius ac timens Deum, nomine Archippus, habitabat apud eum locum, unde magni Archiſtrategi opera emanarant aquæ: ubi cùm innumeris, quæ per aquam edebantur, miraculis multos infideles converteret, ac baptizaret, Græcorum invidiam concitavit, non ferentium admiranda illa prodigia videre. Immani itaque rabie in luſtralem aquam, & ſanctum Archippum inflammati, coacta innumera operarum manu, duobuſque magnis in unum conrivatis fluminibus, rapidam fluentis aquæ molem in eum locum immiſerunt, ut templum ſimul, & luſtralem illam aquam, & Archippum convellerent. Ut verò ſenſit Archippus irruentis aquæ murmur, implorauit Archiſtrategi auxilium: qui ſtatim adfuit, & virga, quam præ manibus habebat, percuſſa petra, repentino ejuſdem petræ hiatu aquas obruit: & ex eo tempore locus ille Chonæ vocatus eſt.

Miraculum S. Michaelis Archangeli apud Chonas.

Eo-



Eodem die

Certamen Sanctorum Martyrum Eudoxii, Romuli, & ſociorum.

88 Eudoxius, Romulus, & ſocii MM.

EUdoxius Chriſti Martyr Trajano Romanorum Imperatore Comes ordine fuit, multiſque militum millibus in Gallia imperavit. Romulus autem Aulæ Imperatoriæ præpoſitus, auctor fuit eidem Trajano, ut in Galliam mitteret, qui Chriſtianos milites diis immolare compellerent. Quo peracto, cùm milites ad id faciendum induci nequirent, in Melitinam Armeniæ urbem relegati ſunt. Poſt hæc Romulus pœnitentia ductus, cùm in Chriſtum credidiſſet, Trajanumque objurgaſſet, capite plexus eſt. Deinde cùm imperio potitus eſſet Maximianus, edixiſſetque Chriſtianos interfici, mandavit per literas et Melitinæ Præfecto, ut Chriſti cultores occideret. Quare Eudoxium Comitem, ejuſque ſocios milites comprehenſos, quod idola adorare nollent, primum quidem multis ſuppliciis vexavit, demum capite obtruncavit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Εὐδοξίου, Ῥωμύλου, καὶ τῆς συνοδίας αὐτῶν.

ΕΥδόξιος ὁ τοῦ Χριστοῦ Μάρτυς, ὑπῆρχεν ἐπὶ Τραϊανοῦ βασιλέως Ῥωμαίων, κόμης τὴν τάξιν. Ἔχων δὲ ὑφ᾽ ἑαυτοῦ στρατιώτας μυρίους, καὶ χιλίους, διέτριβεν ἐν Γαλλίᾳ τῇ χώρᾳ. Ῥωμύλος δὲ ὁ Πραιπόσιτος τοῦ βασιλέως συνεβούλευσεν αὐτῷ ἀποστεῖλαι εἰς τὴν Γαλλίαν χώραν, καὶ καταναγκάσαι τοὺς στρατιώτας Χριστιανοὺς ὄντας, θῦσαι τοῖς θεοῖς. Καὶ τούτου γενομένου, οὐκ ἐπείσθησαν θῦσαι· καὶ διὰ τοῦτο ἐξωρίσθησαν εἰς Μελιτινὴν πόλιν τῆς Ἀρμενίας. Εἶτα μεταμεληθεὶς ὁ Ῥωμύλος, καὶ πιστεύσας τῷ Χριστῷ, καὶ τὸν Τραϊανὸν ἐλέγξας, ἀπεκεφαλίσθη. Μετὰ δὲ ταῦτα κρατήσας τῆς βασιλείας Μαξιμιανὸς, καὶ κελεύσας φονεύεσθαι τοὺς Χριστιανοὺς, προσέταξε διὰ γραμμάτων καὶ τῷ τῆς Μελιτινῆς Ἄρχοντι τοὺς τὸν Χριστὸν προσκυνοῦντας ἀνελεῖν. Ὅθεν κρατήσας Εὐδόξιον τὸν κόμητα, καὶ τοὺς σὺν αὐτῷ στρατιώτας, καὶ καταναγκάσας προσκυνῆσαι τοῖς εἰδώλοις, καὶ μὴ πείσας, πολλὰ βασανίσας ἀπεκεφάλισεν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Φαύστου Πρεσβυτέρου, Ἀβίβου Διακόνου, καὶ τῆς συνοδίας αὐτῶν.

ΟἹ ἅγιοι Μάρτυρες Φαῦστος, καὶ Ἄβιβος, ὑπῆρχον ἐπὶ τῆς βασιλείας Δεκίου, ὁ μὲν Πρεσβύτερος, ὁ δὲ Διάκονος τῆς ἐκκλησίας Ἀλεξανδρείας. Ὅτε καὶ Φαβιανὸς ὁ Πατριάρχης Ῥώμης, καὶ Ἀλέξανδρος Ἱεροσολύμων ὑπὲρ Χριστοῦ ἐμαρτύρησαν. Κρατηθέντες δὲ παρὰ τοῦ τῆς πόλεως Ἀλεξανδρείας Ἄρχοντος, καὶ πολλὰ βασανισθέντες, διὰ τὸ μὴ ἀρνήσασθαι τὸν Χριστὸν, εἰς φυλακὴν ἐνεβλήθησαν. Καὶ πάλιν ἐκβληθέντες κατηναγκάζοντο θύειν τοῖς εἰδώλοις. Μὴ πεισθέντες δὲ, ἀλλὰ καὶ ἐλέγξαντες τὸν Ἄρχοντα, καὶ τὴν τῶν εἰδώλων πλάνην, καὶ ματαιότητα ἀτιμάσαντες, τὰς κεφαλὰς ἀπετμήθησαν, τὸν ἀριθμὸν ὑπάρχοντες δέκα καὶ τρεῖς. Καὶ τὰς μὲν ἁγίας αὐτῶν ψυχὰς παρέθεντο εἰς χεῖρας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὑπὲρ δὲ ἡμῶν τῶν Χριστιανῶν ἀκαταπαύστως πρεσβεύουσι, καὶ τοὺς πιστοὺς βασιλεῖς ἡμῶν κατὰ τῶν πολεμίων ἰσχυρῶς ἐνισχύουσιν, εἰς δόξαν Χριστοῦ, δι᾽ ὃν τὸ αἷμα ἐξέχεαν.

Eodem die

Certamen Sanctorum Fauſti Preſbyteri, Abibi Diaconi, & ſociorum.

SAncti Martyres Fauſtus, & Abibus, Decio Imperatore, hic Diaconus, ille Preſbyter eccleſiæ Alexandrinæ fuerunt, quo tempore & Fabianus Romæ Patriarcha, & Alexander Hieroſolymorum, pro Chriſto martyrium ſubiere. Retenti igitur ab Alexandriæ Præfecto, graviterque torti, quod à Chriſto deficere nollent, in carcerem truduntur. Rurſuſque inde educti, compelluntur ſacra idolis facere. Sed tantum abfuit, ut ad id faciendum animum inducerent, ut Præfectum etiam redarguerent, & idolorum errorem, vanitatemque contemnerent. Quamobrem ſanctis viris numero tredecim abſciſſa capita ſunt. Sed ſanctæ illorum animæ Chriſti Dei noſtri manibus commendatæ, pro nobis Chriſtianis inceſſanter intercedunt, & fidelibus Imperatoribus noſtris adverſus inimicos robur, ac vires addunt ad gloriam Chriſti, pro quo ſanguinem fuderunt.

SS. Fauſtus Presb. Abibus Diaconus, & ſocii MM.



EODEM MENSE

Die Septima.

7.

Certamen Sancti Martyris Sozontis.

S. Soton Martyr.

SOzon Martyr ex regione Lyciæ oriundus, fuit. Cùm autem aliquando in quercum ingentem incidiſſet, apud quam erat aqua, appendiſſetque de arbore tres ſagittas & arcum, ſui ipſius monimenta; is locus precibus ſancti viri divinarum curationum munus accepit. Docebat autem Græcos, & baptizabat eos in nomine Patris, & Filii, & Spiritus ſancti. Poſt hæc ingreſſus idolorum templum, avulſam auream idoli manum, contritamque diviſit pauperibus. Cujus rei auctor cùm quæreretur, multique comprehenderentur, ſanctus vir ultrò ſe Maximo Præſidi obtulit, confeſſus veram Chriſti, Deique noſtri fidem. Quamobrem ſoleæ ferreæ ad pedum plantas acutis clavis affiguntur, quibus incedens, ſummis laudibus Deum efferebat. Deinde ſuſpenſus de arbore, ad necem uſque cæſus eſt, atque ejus corpus in caminum ignis injectum:

ΜΗΝΙ͑ ΤΩ͂ Α͑ΥΤΩ͂

Ζ'.

Α῏θλησις τοῦ ἁγίου Μάρτυρος Σώζοντος.

ΜΑ'ρτυς ὁ Σώζων, ὑπῆρχεν ἐκ τῆς χώρας Λυκίας, ποιμὴν προβάτων γενόμενος. Α'πελθὼν δέ ποτε εἰς δρῦν μεγάλην, ἔνθα ἦν ὕδωρ, ἀπέλιπεν ἐν αὐτῇ τρεῖς σαγίτας καὶ τὸ τόξον αὐτοῦ εἰς μνημόσυνον· καὶ διὰ προσευχῆς αὐτοῦ ἐδέξατο ὁ τόπος ἰαμάτων θείων χαρίσματα. Ε'δίδασκε δὲ τοὺς ἕλληνας, καὶ ἐβάπτιζεν εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἶτα εἰσῆλθεν εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ ἀφείλετο τὴν χρυσῆν χεῖρα τοῦ εἰδώλου, καὶ συντρίψας αὐτὴν διέδωκε τοῖς πτωχοῖς. Ε'τέρων οὖν κρατουμένων διὰ τὴν χεῖρα τοῦ εἰδώλου, αὐτόματος ἐλθὼν ὁ ἅγιος, παρέδωκεν ἑαυτὸν Μαξίμῳ τῷ Α῎ρχοντι. Καὶ ὁμολογήσας τὴν ἀληθινὴν πίστιν τοῦ Χριστοῦ, καὶ Θεοῦ ἡμῶν, ὑποδέδεται ὑποδήματα σιδηρᾶ μετὰ ἥλων ὀξέων, Καὶ φορῶν αὐτὰ περιεπάτει, δοξάζων τὸν Θεόν. Εἶτα κρεμασθεὶς εἰς δένδρον, καὶ τυφθεὶς, ἐτελειώθη. Καὶ ἐνεβλήθη τὸ σῶμα αὐτοῦ εἰς κάμινον πυρός.



21

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Εὐψυχίου.

Εὐψύχιος ὁ Μάρτυς, ὑπῆρχεν ἀπὸ Καισαρείας τῆς Καππαδοκίας, ἐπὶ Ἀδριανοῦ βασιλέως Ῥωμαίων. Μετὰ δὲ τὴν τοῦ πατρὸς τελευτὴν βαπτίζεται ὑπὸ τοῦ Ἐπισκόπου τῆς Καισαρείας. Εἶτα διαβληθεὶς παρά τινων, ὅτι Χριστιανός ἐστιν, ἐκρατήθη παρὰ τοῦ τῆς Καισαρείας Ἄρχοντος, καὶ εἰς φυλακὴν ἐνεβλήθη. Καὶ μετὰ ταῦτα ἐξελθὼν τῆς φυλακῆς, καὶ πωλήσας τὰ ὑπάρχοντα αὐτῷ, πρῶτον μὲν δέδωκεν ἐξ αὐτῶν τοῖς κατηγόροις, ὡς προξένοις γενομένοις αὐτῷ τῆς τῶν οὐρανῶν βασιλείας. Ἔπειτα τὰ λοιπὰ εἰς τοὺς πτωχοὺς διεσκόρπισε, καὶ διένειμεν. Καὶ πάλιν κρατηθεὶς, παρέστη τῷ Ἄρχοντι, καὶ κατηναγκάζετο θύειν τοῖς εἰδώλοις. Καὶ μὴ πεισθεὶς, πρῶτον μὲν κρεμᾶται ἐπὶ ξύλου, καὶ ξέεται ἐπὶ τοσοῦτον, ἕως ἐφάνη πάντα τὰ ἔνδον τῶν σπλάγχνων αὐτοῦ. Εἶτα ἀπὸ τοῦ ξύλου καταβιβασθεὶς, μετὰ τοῦ ξίφους πληγεὶς, ἐτελειώθη, παραδοὺς τὸ πνεῦμα τῷ Κυρίῳ.

Eodem die

Certamen Sancti Martyris Eupſychii.

EUpſychius martyr ex Cæſarea Cappadociæ fuit Adriano Romanorum Imperatore. Mortuo patre baptizatur à Cæſareæ Epiſcopo: delatuſque à quibuſdam, quod Chriſtianus eſſet, à Cæſareæ præſide comprehenditur, & in carcerem detruditur. Unde egreſſus, divenditis facultatibus ſuis, partem quidum dedit accuſatoribus, utpote qui ſibi regni cœleſtis auctores conciliatoreſque fuiſſent; partem verò pauperibus diſtribuit. Iterùm autem comprehenſus, & coram præſide adductus, cùm compelleretur idolis ſacrificare, nec ad id induci poſſet, de ligno ſuſpenſus, uſque adeo depectitur, ut omnia illius viſcera conſpicerentur. Deinde è ligno depoſitus, gladioque cæſus, ſpiritum Domino tradidit. S. Eupſychius M.

EO-



EODEM MENSE

8. Die Octava.

Nativitas Sanctiſſimæ Dominæ noſtræ Deiparæ, & Virginis Mariæ.

Nativitas B.V.M.

CUM rerum omnium opifex Deus homines creaſſet, ut opera bona exercerent, utque ipſum ſolum cognoſcerent, ſeque ad illius voluntatem planè conformarent; invidit diabolus: & primum quidem Adamum per uxorem Evam deceptum impulit, ut præceptum violaret: auctor etiam fuit reliquis mortalibus, ut neglecto Deo, idola animo carentia adorarent. Miſertus itaque Deus figmenti ſui, Legem dedit, & Prophetas. Verùm cùm hæc nihil proficerent, decrevit mittere filium ſuum & Verbum, qui formam hominis aſſumeret, homineſque de manu diaboli liberaret. Eam igitur ob cauſam diſpoſuit, ut naſceretur, quæ in carne filium ſuum paritura erat, Maria impolluta Deipara ex ſanctis parentibus Joachim & Anna, quibus orantibus promiſerat Deus, ſe fructum ventris daturum. Hinc dici huic feſto inditum nomen eſt Nativitas, quam nos quotannis celebrantes, Domino Deo noſtro gratias agimus.

ΜΗΝΙ' ΤΩ͂Ι ΑΥ'ΤΩ͂Ι

Η'.

Τὸ γενέσιον τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου, καὶ παρθένου Μαρίας.

ΠΟιήσαντος τοῦ δημιουργοῦ Θεοῦ τοὺς ἀνθρώπους ἐπ᾽ ἔργοις ἀγαθοῖς, καὶ εἰς τὸ γνωρίζειν μόνον αὐτὸν, καὶ ποιεῖν τὸ θέλημα αὐτοῦ, ἐφθόνησεν ὁ διάβολος. Καὶ πρῶτον μὲν παρέπεισε τὸν Ἀδὰμ παραβῆναι, ἀπατηθέντα διὰ τῆς αὐτοῦ γυναικὸς Εὔας. Ἔπειτα ἔπεισε καὶ τοὺς λοιποὺς ἀνθρώπους καταλιπεῖν τὸν Θεὸν, καὶ προσκυνεῖν τὰ ἄψυχα εἴδωλα. Ἐλεήσας οὖν ὁ Θεὸς τὸ πλάσμα αὐτοῦ, ἔδωκε νόμον καὶ προφήτας. Ἀλλὰ μηδὲν τούτων ὠφελησάντων, ἐβουλήθη ἀποστεῖλαι τὸν υἱὸν αὐτοῦ, καὶ Λόγον, ἀναλαμβάνειν ἀνθρώπου μορφὴν, καὶ λυτρώσασθαι τοὺς ἀνθρώπους ἐκ τῆς χειρὸς τοῦ διαβόλου. Διὰ τοῦτο ᾠκονόμησε γεννηθῆναι τὴν μέλλουσαν γεννῆσαι σαρκὶ τὸν υἱὸν αὐτοῦ Μαρίαν, τὴν ἄχραντον Θεοτόκον, ἐξ ἁγίων γονέων Ἰωακεὶμ, καὶ Ἄννης. Οἷς καὶ ὑπέσχετο προσευχομένοις ὁ Θεὸς, δοῦναι καρπὸν κοιλίας. Ὅθεν καὶ καλεῖται γενέσιον ἡ παροῦσα ἑορτή. Ἣν ἑορτάζοντες ἐτησίως εὐχαριστοῦμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Θʹ.

Μνήμη τῶν ἁγίων Ἰωακεὶμ, καὶ Ἄννης τῶν γονέων τῆς Θεοτόκου.

ΕΝ τῷ λαῷ τῶν Ἰουδαίων ἦν τις ἄνθρωπος, Ἰωακεὶμ καλούμενος, δίκαιος καὶ πλούσιος, καὶ κατὰ ἑορτὴν ἐχώριζεν ἐκ τοῦ πλούτου αὐτοῦ μοίρας δύο. Καὶ τὴν μὲν μίαν μοῖραν ἐδίδου τοῖς πτωχοῖς· τὴν δὲ ἑτέραν τῷ Θεῷ. Ἦν δὲ ἄτεκνος. Ἐν μιᾷ οὖν τῶν ἑορτῶν προσέφερε τὰ δῶρα αὐτοῦ τῷ Θεῷ· καὶ διότι οὐκ εἶχε παιδίον, ὠνειδίσθη παρὰ Ἰουδαίου τινὸς, εἰπόντος πρὸς αὐτὸν, ὅτι οὐ πρέπει σοι δῶρα προσφέρειν τῷ Θεῷ μεθ᾽ ἡμῶν, διότι ὑπάρχεις ἄτεκνος. Ἐλυπήθη δὲ Ἰωακεὶμ, καὶ οὐχ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ, ἀλλ᾽ ἀπελθὼν εἰς τὴν ἔρημον, ἐνήστευσεν ἡμέρας τεσσαράκοντα παρακαλῶν τὸν Θεὸν, δοῦναι αὐτῷ καρπὸν κοιλίας. Προσηύχετο δὲ καὶ ἡ Ἄννα ἐν τῷ οἴκῳ αὐτῆς τὰ ὅμοια. Καὶ ἐπακούσας αὐτῶν ὁ Θεὸς, ἀπέστειλεν Ἄγγελον, καὶ ὑπέσχετο αὐτοῖς τὴν γέννησιν τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας. Ὅπερ καὶ γέγονεν, ὑπὲρ σωτηρίας ὅλου τοῦ γένους τῶν ἀνθρώπων.

Τῇ

EODEM MENSE

Die Nona. 9.

Commemoratio Sanctorum Joachim, & Annæ, parentum Deiparæ.

IN Judæorum populo erat vir quidam nomine Joachim, juſtus & dives: qui feſtis diebus facultates ſuas in duas partes dividens, alteram pauperibus erogabat, alteram verò Deo offerebat. Erat autem ſine liberis. Quodam igitur feſto cùm munera Deo offerret, quod nullum filium haberet, exceptus eſt probro à Judæo quodam, negante fas eſſe ei, qui liberis careret, unà cum ceteris dona Deo offerre. Attulit ea res tantam Joachimo moleſtiam, ut in domum ſuam redire noluerit; ſed in deſertum locum ſecedens, quadraginta diebus jejunaverit, Deum precans, ut fructum ventris ſibi concederet. Nec minus Anna domi orabat. Cùm igitur illos exaudiſſet Deus, miſit Angelum, qui promiſit eis nativitatem ſanctæ Dominæ noſtræ Deiparæ ſemperque Virginis Mariæ. Quod & contigit pro ſalute totius generis humani. SS. Joachim, & Anna.

D Eo-



Eodem die

Certamen Sancti Martyris Severiani.

S. Severianus M.

SEverianus martyr patria Sebaſtenus, Licinio imperante, miles fuit. Cùm autem Quadraginta Martyres comprehenſi fuiſſent, & in carcerem pro Chriſto detruſi, eos adivit, & ad perferendum martyrium hortabatur. Cognitus autem, captuſque, ſiſtitur Lyſiæ Duci: cùmque Chriſtum liberè confiteretur, erroremque argueret, ipſique Lyſiæ conſtanter ſe opponeret, ſuſpenſus, nervis bubulis cæditur, in lateribus dilaniatur, facibuſque aduritur. Poſt hæc de alto muro ſuſpenditur, vinctus funibus, pedibus ingentium ſaxorum mole oneratis, manibuſque poſt tergum revinctis; diuque ſuſpenſus, verberibus cæditur, quoad nervi ſaxorum mole luxati ſunt, ac membra diſſoluta. Interim Deo gratias agens atque orans, inter graviſſima tormenta deceſſit, in manus Dei ſpiritum commendans.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Σευηριανοῦ.

ΣΕυηριανὸς ὁ Μάρτυς, ὑπῆρχεν ἐκ τῆς πόλεως Σεβαστείας, ἐπὶ τῆς βασιλείας Λικιννίου στρατευόμενος. Ὅτε δὲ ἐκρατήθησαν οἱ ἅγιοι τεσσαράκοντα μάρτυρες, καὶ ἀπεκλείσθησαν ἐν τῇ φυλακῇ διὰ τὸν Χριστὸν, ἀπῆλθε πρὸς αὐτοὺς, καὶ παρεκάλει πρὸς τὸ μαρτύριον. Διαγνωσθεὶς δὲ ἐκρατήθη, καὶ παρέστη τῷ κριτηρίῳ Λυσίου τοῦ δουκός. Καὶ ὁμολογήσας παῤῥησίᾳ τὸν Χριστὸν, καὶ τὴν πλάνην ἐλέγξας, καὶ τῷ Λυσίᾳ ἀντιταξάμενος, κρεμασθεὶς, ἐτύφθη μετὰ βουνεύρων, καὶ ξεσθεὶς τὰς πλευρὰς, καὶ λαμπάσι καταφλεχθεὶς, ἐκρεμάσθη ἐπὶ τείχους ὑψηλοῦ, σχοινίοις δεθεὶς· καὶ ἐδεσμήθη τοὺς πόδας λίθοις μεγάλοις, δεδεμένος καὶ τὰς χεῖρας ὀπίσω. Ἐπὶ πολὺ δὲ κρεμάμενος, καὶ ταῖς πληγαῖς δαπανώμενος, καὶ τῷ βάρει τῶν λίθων τὰ νεῦρα διατεινόμενος, καὶ κοπτόμενος ηὐχαρίστει τῷ Θεῷ, καὶ προσηύχετο. Καὶ οὕτω πικρῶς βασανισθεὶς ἐτελεύτησεν, εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα αὐτοῦ παραθέμενος.



ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

Ι'

Μνήμη τοῦ ἁγίου Βαριψαββᾶ.

Κατὰ τὸν καιρὸν ὅτε οἱ Ἰουδαῖοι, διὰ φθόνον, τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐσταύρωσαν, ἦν τις Ἰάκωβος ὄνομα, παρεστὼς τῷ σταυρῷ. Ὅστις ἰδὼν τὸν στρατιώτην, τὸν ἐκκεντήσαντα μετὰ τοῦ κονταρίου τὴν πλευρὰν τοῦ Κυρίου, τὴν ἐκβλύσασαν αἷμα καὶ ὕδωρ, δραμὼν ἔλαβε κολόκυνθαν, καὶ ἐδέξατο ἐν αὐτῇ τὸ τίμιον αἷμα, καὶ κατεῖχε κρύφα. Καὶ τελευτῶν κατέλιπεν αὐτὸ δύο ἐρημίταις ἀνθρώποις. Καὶ κατὰ γενεὰν ἦλθεν εἰς ἄνθρωπον εὐλαβῆ μοναχὸν, ὀνόματι Βαριψαββᾶν, τὸν δι' αὐτοῦ πολλὰς ἰάσεις ἐπιτελέσαντα. Πρὸ δὲ τῆς τελευτῆς αὐτοῦ, λαβὼν αὐτὸ τὸ ἅγιον αἷμα, μετὰ τῆς κολοκύνθης, περιεπάτει κατὰ πᾶσαν πόλιν, καὶ χώραν θαυματουργῶν. Ἰδόντες δὲ αὐτόν τινες τὸν Θεὸν μὴ φοβούμενοι, καὶ νομίσαντες, ὅτι ἐὰν αὐτὸν φονεύσωσι, καὶ λάβωσι τὴν κολόκυνθαν, μετὰ τοῦ τιμίου αἵματος, κερδήσουσι χρήματα πολλὰ, νυκτὸς ἀπελθόντες ἀπέκτειναν. Καὶ ἔλαβον τὴν κολόκυνθαν, μηδὲν, ὧν ἤλπισαν, εὑρόντες. Καὶ οὕτω θανὼν, παρέδωκε τὸ πνεῦμα.

Τῇ

EODEM MENSE

Die Decima. 10.

Commemoratio Sancti Baripſabbæ.

QUO tempore Judæi per invidiam Dominum noſtrum Jeſum Chriſtum cruci affixere, Jacobus quidam adſtans cruci, cùm vidiſſet militem lancea latus Domini perforaſſe, & inde ſanguinem & aquam prodiiſſe, accurrens, cucurbita pretioſum ſanguinem excepit, atque apud ſe occultavit, illumque ſub extremum vitæ ſuæ tempus duobus eremitis reliquit. Atque ita per manus deinceps traditus poſt multas ætates pervenit in poteſtatem cujuſdam pii monachi, Baripſabbæ nomine, qui per illum plures curationes peragebat. Antequam autem decederet, ſanctum ſanguinem unà cum cucurbita accipiens, totam urbem regionemque illam obambulabat, frequentia perpetrans miracula. Qua re animadverſa, quidam Deum minimè timentes in eam ſpem venerunt, ut ſi Baripſabba interfecto potirentur ipſi cucurbita cum pretioſo ſanguine, magnum inde quæſtum eſſent facturi. Igitur noctu illum adorti interficiunt. Et cucurbitam quidem acceperunt; ſed nihil eorum, quæ ſperabant, invenerunt. Ille verò ita trucidatus, ſpiritum reddidit.

S. Baripſabba.



Eodem die

Certamen Sanctarum Martyrum, & ſororum Menodoræ, Nymphodoræ, & Metrodoræ.

SS. Menodora, Nymphodora, & Metrodora ſorores.

MEnodora, Nymphodora, & Metrodora ſorores martyres, ex regione Bithyniæ, Maximiano imperante, fuerunt. Habitabant autem in Pythiis, ubi calidæ prodeunt aquæ. Cùm verò Chriſtum diligerent, atque in ejus nomine Græcos edocerent, comprehenſæ à regionis præſide, atque interrogatæ, Chriſtum profeſſæ ſunt. Quamobrem Menodota ſororum natu maxima primum virgis cæditur, ejuſque crura contunduntur: atque ita orans, deceſſit. Cujus reliquias juſſit Præſes cotam aliis ſororibus apponi, ut terrorem illis incuteret; hortabaturque, ut diis ſacra facerent, ne eadem quæ ſoror, paterentur. Sed cùm nihil dicendo efficeret, præcepit lictoribus, ut & ipſas occiderent. Qui arreptis ſtatim ferreis vectibus omnia earum membra contuderunt. Atque ita martyrium conſummantes, ſepultæ ſunt prope calidas aquas, multis ſanitatem reſtituentes.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων καὶ Αὐταδέλφων Μηνοδώρας, Νυμφοδώρας, καὶ Μητροδώρας.

Ἡ Μάρτυς Μηνοδώρα μετὰ Νυμφοδώρας, καὶ Μητροδώρας, τῶν ἀδελφῶν αὐτῆς, ὑπῆρχον ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐκ τῆς χώρας Βιθυνίας, κατοικοῦσαι ἐν τοῖς πυθίοις, ἔνθα τὰ θερμὰ ἐξέρχονται ὕδατα. Τὸν Χριστὸν δὲ ἀγαπῶσαι, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοὺς ἕλληνας διδάσκουσαι, ἐκρατήθησαν παρὰ τοῦ τῆς χώρας Ἄρχοντος. Καὶ ἐρωτηθεῖσαι, ὡμολόγησαν τὸν Χριστόν. Διὰ τοῦτο τύπτεται πρῶτον ἡ πρώτη ἀδελφὴ Μηνοδώρα· καὶ ῥάβδοις συντρίβεται τὰ σκέλη αὐτῆς. Καὶ οὕτω προσευχομένη ἐτελειώθη. Προσέταξε δὲ ὁ ἄρχων τεθῆναι τὸ λείψανον αὐτῆς ἔμπροσθεν τῶν ἄλλων ἀδελφῶν, πρὸς τὸ ἐκφοβῆσαι· καὶ εἶπε πρὸς αὐτάς. Θύσατε τοῖς θεοῖς, ἵνα μὴ τὰ ὅμοια τῇ ἀδελφῇ ὑμῶν πάθητε. Ὡς δὲ οὐκ ἔπεισεν, ἐκέλευσε τοῖς δημίοις καὶ αὐτὰς φονεῦσαι, καὶ εὐθέως λαβόντες οἱ δήμιοι μοχλοὺς σιδηροῦς, συνέτριψαν πάντα τὰ μέλη αὐτῶν. Καὶ οὕτω τελειωθεῖσαι, ἐτάφησαν πλησίον τῶν θερμῶν ὑδάτων, ἰάσεις ἐπιτελοῦσαι.



ΜΗΝΙ΄ ΤΩ͂ Α΄ΥΤΩ͂	EODEM MENSE
ΙΑ΄.	Die Undecima. 11.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Διοδώρου, καὶ Διδύμου.

Διόδωρος, καὶ Δίδυμος, οἱ τοῦ Χριστοῦ Μάρτυρες, ὑπῆρχον μὲν ἐκ τῆς πόλεως Λαοδικείας τῆς Συρίας. Χριστιανοὶ δὲ ὄντες, ἐδίδασκον πάντας ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ Θεοῦ ἡμῶν, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφοντες, ἐβάπτιζον. Διαβληθέντες δὲ παρὰ τῶν δυσσεβῶν Ἑλλήνων τῷ τῆς Λαοδικείας Ἄρχοντι, παρέστησαν τῷ κριτηρίῳ αὐτοῦ. Καὶ ἐρωτηθέντες, καὶ ἑαυτοὺς Χριστιανοὺς ὁμολογήσαντες, ἰσχυρῶς ἐτύφθησαν. Ἐπὶ πολὺ δὲ τιμωρηθέντες, καὶ τὸν Χριστὸν μὴ ἀρνησάμενοι, ἀλλὰ μᾶλλον τὴν τῶν εἰδώλων πλάνην ἀνδρείως ἐλέγξαντες, καὶ τὸν Ἄρχοντα, ὡς παράνομον, καὶ κακῶς πράττοντα ὀνειδίσαντες, καὶ εἰς τὸ πρόσωπον αὐτοῦ ἐμπτύσαντες, ὡς τὸν ἀληθινὸν Θεὸν καταλιπόντα, καὶ ψευδέσιν εἰδώλοις προσκείμενον, εὐχαριστοῦντες, καὶ τῷ Χριστῷ προσευχόμενοι, ἐν αὐταῖς ταῖς βασάνοις ἀπέθανον.

Τῇ

Certamen Sanctorum Martyrum Diodori, & Didymi.

SS. Diodorus, & Didymus MM.

Diodorus, & Didymus Chriſti martyres ex urbe Syriæ Laodicea fuerunt. Cùm autem Chriſtiani eſſent, docebant omnes in nomine Domini Dei noſtri, qui fecit cœlum & terram, & omnia, quæ in eis ſunt: multoſque infidelium convertentes, baptizabant. Delati igitur ab impiis Græcis ad Laodiceæ præſidem, ad illius tribunal producuntur: interrogatique, cùm ſe ipſos Chriſtianos profiterentur, acriter vapularunt: diuque torti, cùm non ſolum Chriſtum non abnegarent, ſed idolorum etiam impoſturam conſtanter reprehenderent, præſidemque ut impium & iniquum traducerent, inque ejus os exſpuerent, quod verum Deum deſerens, falſorum idolorum cultor eſſet; in ipſis cruciatibus gratias agentes, Chriſtumque precantes, mortui ſunt.

Eo-



Eodem die

Certamen Sanctæ martyris Iæ, quæ in Perſide martyrium ſubiit.

S. Ia Martyr. IA Chriſti martyr ex Caſtro Romano fuit, quod juxta regionem Perſidis ſitum eſt. A Sapore autem Perſarum rege unà cum novem millibus Chriſtianorum captiva abducta, Chriſtumque colere deprehenſa, traditur Magorum principibus, ut torqueretur. A quibus cùm deficere à Chriſto compelleretur; non modo ad id induci non potuit; ſed potiùs eos deriſit. Quamobrem in carcerem detruditur, ubi per annum integrum fame macerata eſt. Deinde è cuſtodia educta, horrentibus malorum punicorum virgis cæditur, & rurſus cuſtodiæ traditur quindecim menſium ſpatio. Poſtea tribunali principum Magorum ſiſtitur; ejuſque manus, femora, & crura haſtili tenuibus adeo funibus adſtricta ſunt, donec crepitum & ſtridorem illius oſſa edidere. Adhæc nervis bubulis in lumbis & ventre cæditur. Demum gratias agens, gladio decollatur.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἴας τῆς ἐν Περσίδι μαρτυρησάσης.

Ἡ τοῦ Χριστοῦ Μάρτυς Ἴα ὑπῆρχεν ἀπὸ Κάστρου Ῥωμαϊκοῦ πλησίον διακειμένου τῆς χώρας Περσίδος· ὑπὸ δὲ Σαβωρίου τοῦ βασιλέως Περσῶν ἐκρατήθη αἰχμάλωτος μετὰ χιλιάδων ἐννέα Χριστιανῶν. Καὶ διαγνωσθεῖσα, ὅτι τὸν Χριστὸν σέβεται, παρεδόθη τοῖς Ἀρχιμάγοις, ἐπὶ τῷ τιμωρηθῆναι. Οἵτινες ἀναγκάσαντες αὐτὴν ἀρνήσασθαι τὸν Χριστόν, οὐ μόνον οὐκ ἔπεισαν, ἀλλὰ καὶ κατεγελάσθησαν ὑπ' αὐτῆς. Διὰ τοῦτο ἐνεβλήθη εἰς φυλακήν, χρόνον ὁλόκληρον τῷ λιμῷ καταπονουμένη. Εἶτα ἐκβληθεῖσα τῆς φυλακῆς, ἐτύφθη μετὰ ῥαβδίων ῥοιῶν ἀκαθαρίστων. Καὶ πάλιν ἀποκλεισθεῖσα ἐπὶ δεκαπέντε μῆνας, παρέστη τῷ κριτηρίῳ τῶν Ἀρχιμάγων. Καὶ δεθεῖσα σχοινίοις λεπτοῖς τὰς χεῖρας καὶ τοὺς μηροὺς, καὶ τὰ σκέλει συνεσφίχθη ὑπὸ στυρακίου· ἕως τὰ ὀστᾶ αὐτῆς τρισμὸν ἐποίησαν. Καὶ πάλιν ἐτύφθη διὰ λωρίων ὠμοβύρσων τὰς ψύας καὶ τὴν κοιλίαν. Καὶ μετὰ ταῦτα εὐχαριστοῦσα, διὰ ξίφους ἐτμήθη τὴν κεφαλήν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ.

Η' Ὁσία Θεοδώρα ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ζήνωνος, ὡραία τὴν ὄψιν, καὶ πλουσίων γονέων θυγάτηρ, ἔχουσα ἄνδρα εὐλαβῆ, καὶ φοβούμενον τὸν Θεόν. Ἀνὴρ δέ τις πλούσιος, ὑπὸ τοῦ διαβόλου κινηθεὶς, ἐπεθύμησεν αὐτῆς, καὶ χρησάμενος γυναικί τινι τῶν πρὸς ταῦτα ἐπιτηδείων ἐπλήρωσε τὴν ἁμαρτίαν αὐτοῦ. Μετὰ δὲ τὴν ἁμαρτίαν μεταμεληθεῖσα ἡ Θεοδώρα, καὶ μὴ φέρουσα τὸ ὄνειδος, ἐξεδύσατο τὴν στολὴν αὐτῆς, καὶ ἐνεδύσατο ἱμάτια ἀνδρεῖα πενιχρὰ, καὶ ἀπῆλθεν εἰς ἀνδρεῖον μοναστήριον, μετονομάσασα ἑαυτὴν Θεόδωρον. Ὁ δὲ ἀνὴρ αὐτῆς δι' αὐτὴν ἦν θρηνῶν καὶ κοπτόμενος. Τοσούτους δὲ πειρασμοὺς ὑπέστη παρὰ τῶν δαιμόνων, καὶ τοιούτους ἀγῶνας ἐπεδείξατο, ὡς μὴ μόνον τοῦ ἁμαρτήματος λυτρωθῆναι, ἀλλὰ καὶ θαυμάτων ἀξιωθῆναι πολλῶν. Νομίζοντες δὲ οἱ μοναχοὶ, ὅτι ἀνήρ ἐστιν· ἐσπούδασε γὰρ λαθεῖν· μετὰ τελευτὴν ἀπολούοντες, εὗρον αὐτὴν κατὰ φύσιν γυναῖκα, καὶ ἐδόξασαν τὸν Θεόν.

Eodem die

Commemoratio Sanctæ Theodoræ Alexandrinæ.

S. Theodora in Alexandrina.

SAncta Theodora floruit Imperatore Zenone. Hæc forma inſigni, & locupletum parentum filia, nupſerat viro pio ac timenti Deum. Dives autem quidam cùm à diabolo commotus arderet illius amore, adhibita lena, factus eſt voti ſui compos. Poſt commiſſum peccatum Theodora, cùm facti illam pœniteret, neque ignominiam perferre poſſet, exuta muliebri ſtola, induit virilem pauperis habitum, ingreſſaque virorum monaſterium, ſeipſam Theodorum nominavit: cùm interim vir ejus in luctu perpetuo ac ſquallore propter illam jaceret: quæ tantas dæmonum tentationes pertulit, tamque grave adversùs illos certamen ſuſcepit, ut non ſolum peccati labem eluerit; ſed multorum etiam miraculorum dono digna à Deo habita fuerit. Putantes autem monachi illam virum eſſe: omnem enim operam adhibuerat, ut lateret; dum eam poſt obitum abluerent, feminam invenerunt, Deum laudibus efferentes.



EODEM MENSE

Die Duodecima.

12\.

Certamen Sacroſancti Martyris Autonomi.

S. Autonomus M.

SAcroſanctus Martyr Autonomus, Diocletiano Imperatore, Epiſcopus in Italia fuit. Ob motam autem in Chriſtianos perſecutionem relicta Italia in Bithyniam profectus, à Cornelio quodam Chriſtiano exceptus eſt: ubi cùm templum nomini Michaëlis Archiſtrategi excitaſſet, atque in eo Cornelium Epiſcopum ordinaſſet, abiit Claudiopolim, ibique verbum Dei prædicabat. Reverſus autem, ut Cornelium viſeret, cùm in Archiſtrategi Michaëlis templo Liturgiam celebraret, in furorem concitavit Græcos, iniquè ferentes Chriſtum ab eo, neglectis idolis, adorari. Quamobrem obſervato tempore, quo ſacris operabatur, inſiluere in eccleſiam: atque iis, qui circa ipſum erant, gladiis, ac fuſtibus in fugam verſis, ſanctum virum in ipſo altari crudeliter necarunt, qui ſpiritum Domino tradidit.

Eo-

ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

ΙΒ'.

Α῏θλησις τοῦ ἁγίου Ἱερομάρτυρος Αὐτονόμου.

ΑὐΤόνομος ὁ Ἱερομάρτυς, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, Ἐπίσκοπος γενόμενος Ἰταλίας. Διὰ δὲ τὸν κατὰ τῶν Χριστιανῶν διωγμὸν, καταλιπὼν τὴν Ἰταλίαν, κατέλαβε τὴν Βιθυνίαν. καὶ ὑπεδέχθη παρὰ Κορνηλίου τινὸς Χριστιανοῦ. Κτίσας δὲ ναὸν ἐπὶ τῷ ὀνόματι τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, καὶ χειροτονήσας ἐν αὐτῷ Ἐπίσκοπον τὸν Κορνήλιον, ἀπῆλθεν εἰς Κλαυδίου πόλιν, διδάσκων καὶ ἐκεῖ τὸν λόγον τοῦ Θεοῦ. Ὑποστρέψας δὲ, καὶ τὸν Κορνήλιον ἐπισκεψάμενος, καὶ λειτουργῶν ἐν τῷ ναῷ τοῦ Ἀρχιστρατήγου Μιχαὴλ, εἰς μανίαν ἐκίνησε τοὺς Ἕλληνας, μὴ φέροντας βλέπειν τὸν μὲν Χριστὸν προσκυνούμενον ὑπ᾽ αὐτοῦ, τὰ δὲ εἴδωλα καταφρονούμενα. Καὶ ἐπιτηρήσαντες τὸν καιρὸν, ὅτε ἐλειτούργει, εἰσεπήδησαν εἰς τὴν ἐκκλησίαν, καὶ τοὺς περὶ αὐτὸν μετὰ μαχαιρῶν καὶ ξύλων εἰς φυγὴν τρέψαντες, ἐν αὐτῷ τῷ θυσιαστηρίῳ τὸν ἅγιον ὠμῶς, καὶ ἀπανθρώπως ἐφόνευσαν, καὶ παρέδωκε τῷ Κυρίῳ τὸ πνεῦμα αὐτοῦ.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Κορνούτου.

Κορνοῦτος ὁ Ἱερομάρτυς, ἦν μὲν ἐκ τῆς πόλεως Ἰκονίου, πρεσβύτερος εὐλαβὴς καὶ φοβούμενος τὸν Θεόν. Διωγμοῦ δὲ γενομένου κατὰ τῶν Χριστιανῶν, ἀπεστάλη ὁ Ἄρχων τοῦ Ἰκονίου ὠμὸς καὶ ἀπάνθρωπος εἰς τὸ βασανίσαι τοὺς ἐκεῖ Χριστιανούς. Καὶ πάντων φυγόντων διὰ τὸν φόβον, ὁ Κορνοῦτος μόνος καταλειφθεὶς, ὑπήντησε τῷ Ἄρχοντι. Καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, θαρσαλέως τὸν Χριστὸν ὡμολόγησε, καὶ ἑαυτὸν Χριστιανὸν τέλειον ἀνεκήρυξεν, ἐλέγξας καὶ τῶν εἰδώλων τὴν ἀπάτην, καὶ τὸν Ἄρχοντα μυκτηρίσας. Διὰ τοῦτο κρατηθεὶς, καὶ δεθεὶς τοὺς πόδας σχοινίοις λεπτοῖς, σύρεται κατὰ τὰς πλατείας, καὶ ῥύμας τῆς πόλεως Ἰκονίου, ἕως τὸ αἷμα αὐτοῦ ἔρρευσε ποταμηδὸν ἐπὶ τὴν γῆν. Καὶ τεθεὶς ὡσεὶ νεκρὸς ηὐχαρίστει τῷ Θεῷ προσευχόμενος. Καὶ οὕτω τιμωρηθεὶς ἐπὶ πολὺ, καὶ μέχρι τῆς ἐσχάτης ἀναπνοῆς τὸν Χριστὸν ἐπικαλούμενος, προστάξει τοῦ Ἄρχοντος, ἀπετμήθη τὴν κεφαλὴν, παραθέμενος τὴν ψυχὴν τῷ Θεῷ.

Eodem die

Certamen Sacroſancti Martyris Cornuti.

SAcroſanctus Martyr Cornutus ex urbe Iconio fuit, Presbyter pius, ac timens Deum. Mota autem in Chriſtianos perſecutione, cùm Iconii Præſes crudelis, atque omnis humanitatis expers miſſus fuiſſet, ut Chriſtianos ibi verſantes torqueret, ceteris omnibus metu dilapſis, Cornutus ab omnibus deſtitutus, obviam Præſidi proceſſit: interogatuſque, cùm audacter Chriſtum confiteretur, & ſeipſum perfectum Chriſtianum prædicaret, idolorum autem impoſturam redargueret, ipſumque Præſidem irrideret; comprehenſus eſt: pedibuſque tenui fune adſtrictis, per urbis Iconii plateas, & vicos uſque adeo raptatur, donec ejus ſanguis, fluvii inſtar, in terram efflueret, cùm interim ſemivivus gratias ageret, Deoque preces offerret. Atque ita diu tortus, Chriſtumque ad extremum uſque ſpiritum invocans, poſtremò Præſidis juſſu capite plexus, animam Deo commendavit. S. Cornutus M.



Eodem die

Certamen Sancti Martyris Theodori Alexandrini.

S. Theodorus Alexandrinus M.

HUnc Sanctum Martyrem Theodorum, Chriſtianum pium, ac virtute præditum, cùm liberè Chriſtum prædicaret, eumque Deum ac rerum omnium conditorem aſſereret, Alexandrinus populus idolorum ſuperſtitioni addictus in unum coactus, captum acriter excruciavit. Deinde ſpineam coronam plectens, capiti ejus impoſuit; & virgis cæſum, per urbem vinctum circumduxit, ludibrio & ſannis expoſitum. Poſthæc in mare demerſum, leviſſimus ventus in terram ejecit incolumem. Rurſuſque comprehenſus Præfecto vinctus ſiſtitur: qui cùm illum à Chriſti fide avertere non poſſet, iterum tormentis ſubjicit, gloriam Deo in ipſis cruciatibus dantem, ejuſque nomini gratias agentem. Poſtremo Præfecti ſententia capite damnatus, & à militibus ad ſupplicii locum abductus, decollatus fuit. Atque ita martyrio defunctus, ſpiritum tradidit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Θεοδώρου τοῦ ἐν Ἀλεξανδρείᾳ.

ΤΟῦτον τὸν ἅγιον Μάρτυρα Θεόδωρον, Χριστιανὸν ὄντα εὐλαβῆ καὶ ἐνάρετον, παῤῥησίᾳ κηρύττοντα τὸν Χριστὸν, καὶ Θεὸν ὁμολογοῦντα τοῦ παντὸς δημιουργὸν, ὁ τῶν Ἀλεξανδρέων δῆμος, εἰδωλολάτραι ὄντες, συναχθέντες ἐκράτησαν αὐτὸν, καὶ ἐτιμωρήσαντο ἰσχυρῶς. Καὶ πλέξαντες στέφανον ἀκάνθινον, περιέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ μετὰ ῥαβδίων ἔτυπτον, καὶ εἰς τὴν πόλιν δέσμιον περιῆγον, χλευάζοντες αὐτὸν καὶ γελῶντες. Μετὰ τοῦτο ἔῤῥιψαν ἐν τῇ θαλάσσῃ. Αὔρα δὲ γαληνῆς τοῦτον ἐπὶ τῆς ξηρᾶς σῶον διέσωσε. Καὶ πάλιν κρατηθεὶς, δεδεμένος παρέστη τῷ Ἄρχοντι. Καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πεισθεὶς, αὖθις ἐβασανίσθη. Καὶ δοξάζων τὸν Θεὸν, καὶ εὐχαριστῶν τῷ ἁγίῳ αὐτοῦ ὀνόματι, ἐν αὐταῖς ταῖς βασάνοις, κατεδικάσθη παρὰ τοῦ Ἄρχοντος ἀποκεφαλισθῆναι. Καὶ ἀπαγαγόντες αὐτὸν οἱ στρατιῶται εἰς τὸν τόπον τῶν καταδίκων, ἀπεκεφάλισαν. Καὶ οὕτω τελειωθεὶς, παρέδωκε τὸ πνεῦμα.



ΜΗΝΙ ΤΩ͂ ΑΥ̓ΤΩ͂

ΙΓʹ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Μακροβίου, Γορδιανοῦ, καὶ τῆς συνοδίας αὐτῶν.

ΟὟτοι οἱ ἅγιοι Μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Λικιννίου· ὁ μὲν Μακρόβιος ἀπὸ Καππαδοκίας, ὁ δὲ Γορδιανὸς ἀπὸ Παφλαγονίας. Νέοι δὲ ὄντες τὴν ἡλικίαν, καὶ ἀνδρεῖοι καὶ σώφρονες, ἦσαν τεταγμένοι δουλεύειν εἰς τὴν τοῦ βασιλέως τράπεζαν, καὶ ἀγαπώμενοι παρ᾽ αὐτοῦ διὰ τὴν ἀρετὴν, καὶ τὸ τοῦ προσώπου κάλλος. Ἀλλὰ διαγνωσθέντες εἶναι Χριστιανοὶ, καί ποτε μὲν διὰ παρακλήσεως, ποτὲ δὲ δι᾽ ἀπειλῆς ἀναγκαζόμενοι τὸν Χριστὸν ἀρνήσασθαι, καὶ μὴ πεισθέντες, ἐξωρίσθησαν εἰς τὴν χώραν Σκυθίας. Καὶ φθάσαντες ἐκεῖ, εὗρον τοὺς ἁγίους Ζωτικὸν, Λουκιανὸν, καὶ Ἠλεὶ ἀγωνιζομένους, ἀθλοῦντας διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν. Καὶ μετὰ πολλὰς τὰς βασάνους, ὁ μὲν Ζωτικὸς καὶ ὁ Λουκιανὸς ξίφει ἐτελειώθησαν. Αὐτοὶ δὲ, μετὰ τοῦ Ἠλεὶ, τῇ φυλακῇ παρεπέμφθησαν. Καὶ ὁ μὲν ἀπεκεφαλίσθη· Μακρόβιος δὲ καὶ Γορδιανὸς πυρὶ ἐτελειώθησαν. Ὁ δὲ Οὐαλεριανὸς ἐπὶ τῷ τάφῳ τῶν ἁγίων θρηνῶν ἐξέπνευσεν.

Τῇ

EODEM MENSE


Die Decima tertia. 13.

Certamen Sanctorum Martyrum Macrobii, Gordiani, & ſociorum.

HI Sancti Martyres Licinio Imperatore claruerunt: & Macrobius quidem ex Cappadocia ortum duxit; Gordianus verò ex Paphlagonia. Cùm autem florenti eſſent ætate, & fortitudine, ſapientiaque præditi, id muneris obibant, ut ad Imperatoris menſam miniſtrarent; & ab illo ob virtutem ſuam, & egregiam corporis formam maximè diligebantur. Sed fidei Chriſtianæ accuſati, cùm nec adhortationibus, nec minis ad Chriſtum abnegandum induci poſſent, relegantur in Scythiam. Quò deportati, invenerunt Sanctos Zoticum, Lucianum, & Heli fortiſſimè pro Chriſti confeſſione pugnantes. Poſt multos autem cruciatus, Zoticus quidem, & Lucianus capite plexi ſunt: ipſi verò unà cum Heli in carcerem detruſi. Atque ille quidem decollatus eſt; Macrobius autem, & Gordianus in ignem conjecti occubuere; Valerianus verò ad ſepulcrum Sanctorum plorans, ſpiritum emiſit.

SS. Macrobius, Gordianus, & ſocii MM.

E 2 Eo-



Eodem die

Certamen Sacroſancti Martyris Juliani Ancyræ in Galatia.


S. Julianus Presb. & Martyr.

LIcinio Imperatore magna perſecutio adverſus Chriſtianos mota eſt. Erat autem prope Ancyram Galatiæ Presbyter pius, nomine Julianus, qui vitandæ perſecutionis cauſa in denſum montem ſeſe recepit, & in ſpecu unà cum aliis quadraginta duobus Sanctis ſe abdidit. Cùm autem juxta montem eſſet delubrum Deæ cujuſdam Græcorum, quam Hecaten vocant, & Ancyræ Præſes illuc ſacrificandi cauſa adventare ſoleret, requirebantur Sancti, ut caperentur. Sed cùm quotidie quis eorum exiret, ut aquam ex proximo fonte hauriret, quam ceteris bibendam præberet, obtigit Sancto Juliano, ut aquaretur: qui conſpectus à Græcorum quibuſdam, comprehenſuſque & vinctus, ad Præſidem adducitur. Cùm autem Præſes illum de reliquis percontaretur, ipſe verò neminem proderet, ſed Chriſtum liberè profiteretur; ejus capiti candens caſſis imponitur: deinde ſcalptus, & graviſſimè tortus, decollatur.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ἰουλιανοῦ τοῦ ἐν Ἀγκύρᾳ τῆς Γαλατίας.

ΕΠΙ' τῆς βασιλείας Λικινίου ἦν διωγμὸς μέγας κατὰ τῶν Χριστιανῶν· ἐγγὺς δὲ Ἀγκύρας τῆς Γαλατίας ὑπῆρχε πρεσβύτερος εὐλαβὴς ὄνομα Ἰουλιανός. Διὰ δὲ τὸν διωγμὸν ἔφυγε, καὶ ἀπῆλθεν εἰς ὄρος δασύ. Καὶ κατεκρύπτετο ἐν σπηλαίῳ, μετὰ καὶ ἄλλων τεσσαράκοντα καὶ δύο ἁγίων. Ὄντος δὲ πλησίον τοῦ ὄρους εἰδωλείου τῆς θεᾶς τῶν ἑλλήνων, τῆς λεγομένης Ἑκάτης, καὶ τοῦ τῆς Ἀγκύρας Ἄρχοντος ἀπελθόντος ἐκεῖ θῦσαι αὐτῇ, ἀνεζητοῦνται οἱ ἅγιοι κρατηθῆναι. Ἐξήρχοντο δὲ καθημέραν εἷς εἷς οἱ ἅγιοι, καὶ ἐλάμβανον ὕδωρ ἐκ τῆς πλησίον πηγῆς, καὶ ἐπότιζον τοὺς λοιπούς. Ἔλαχε δὲ καὶ τῷ ἁγίῳ Ἰουλιανῷ γεμίσαι ὕδωρ. Καὶ ἰδόντες αὐτὸν τινες τῶν ἑλλήνων ἐκράτησαν, καὶ δήσαντες ἀπήγαγον τῷ Ἄρχοντι. Καὶ ἐρωτηθεὶς καὶ περὶ τῶν λοιπῶν, καὶ μὴ φανερώσας αὐτούς, ἀλλὰ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσας, περιτίθεται ἐπὶ τὴν κεφαλὴν κασσίδα πεπυρακτωμένην· Εἶτα ξεσθεὶς καὶ τιμωρηθεὶς ἰσχυρῶς, ἀπεκεφαλίσθη.



ΜΗΝῚ Τῼ ΑΥΤῼ

ΙΔʹ.

Ἡ ἀνάμνησις τῆς ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.

Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος ἐν Χριστιανοῖς βασιλεὺς εἶχε ποτὲ πόλεμον, ὡς μέν τινες λέγουσιν, ἐν τῇ Ῥώμῃ κατὰ Μαξεντίου, πρὸ τοῦ κρατῆσαι τῆς βασιλείας· ὡς δὲ ἕτεροι, εἰς τὸν Δάνουβιν ποταμὸν κατὰ Σκυθῶν. Βλέπων δὲ τοὺς πολεμίους πολλοὺς, ἐλυπεῖτο, καὶ διηπόρει. Ἀλλ᾽ ἐν τῇ νυκτὶ ὁρᾷ τὸν τίμιον σταυρὸν ἐν τῷ οὐρανῷ, καὶ γραφὴν δι᾽ ἀστέρων δηλοῦσαν· Κωνσταντῖνε, ἐν τούτῳ νίκα. Ποιήσας οὖν ὅμοιον σταυρὸν, ἐνίκησε τοὺς ἐχθρούς. Καὶ βαπτισθεὶς σὺν τῇ μητέρι Ἑλένῃ, ἠθέλησεν εὑρεῖν τὸν τίμιον σταυρὸν, ἐν ᾧ ἐσταυρώθη ὁ Κύριος. Καὶ ἀπελθοῦσα ἡ μήτηρ αὐτοῦ εἰς τὰ Ἱεροσόλυμα, εὗρεν αὐτὸν φανερωθέντα παρὰ Κυριακοῦ Ἰουδαίου, τοῦ γεγονότος ὕστερον Ἐπισκόπου. Ἰδὼν δὲ αὐτὸν πᾶς ὁ λαὸς ἐχάρη, καὶ προσεκύνησεν αὐτὸν ἡ βασίλισσα μετὰ τῆς συγκλήτου, καὶ ἠσπάσατο. Ζητῶν δὲ καὶ ὁ λαὸς προσκυνῆσαι· καὶ μὴ δυνάμενος διὰ τὸν ἄπειρον ὄχλον, ᾐτήσατο κἂν ἰδεῖν αὐτὸν, καὶ ἤρξατο κράζειν ὁ λαὸς, Κύριε ἐλέησον, καὶ ἐτυπώθη εἰς ὕψωσιν.

Τῇ

EODEM MENSE


Die Decima quarta. 14.

Commemoratio Exaltationis pretioſæ, & vivificæ Crucis.

Exaltatio S. Crucis.

COnſtantinus Magnus, primuſque Chriſtianorum Imperator gerebat aliquando bellum, ut quidam dicunt, Romæ adversùs Maxentium, antequam imperio potiretur; ut verò alii ſentiunt, adversùs Scythas ad Danubium fluvium. Cùm autem magnas hoſtium copias cerneret, æger animo, inopſque conſilii de rei exitu ſecum dubitabat. Sed noctu videns pretioſam crucem in cœlo cum hujuſmodi inſcriptione inter ſidera: Conſtantine, in hoc vinces: ſimillimam illi crucem effinxit, & hoſtes vicit. Quamobrem cum Helena matre baptizatus, optabat pretioſam crucem, cui Dominus affixus fuerat, invenire. Ejus itaque mater conquirendæ Crucis ſtudio Hieroſolyma veniens, reperit eam ſibi manifeſtatam à Cyriaco Judæo, qui poſtea Epiſcopus fuit: quam cùm populus univerſus vidiſſet, ſummo gaudio affectus fuit. Et Imperatrix quidem unà cum Senatu illam adoravit, & oſculata eſt. Populus verò cùm ſummo teneretur adorandæ crucis deſiderio, neque id ſibi propter innumeram hominum turbam facere liceret; petiit, ut ſibi ſaltem illam videndi poteſtas fieret. Quam ubi vidit, in hanc vocem populus erupit, Kyrie eleiſon. Atque hinc Exaltationis typus expreſſus fuit.

Eo-



Eodem die

Certamen Sancti Martyris Papæ.

PApas multorum certaminum Chriſti Martyr, Imperatore Maximiano, ex regione Lyciæ fuit. Cùm autem rectam fidem doceret, & liberè Chriſtum profiteretur, multiſque Græcorum, ut in illum crederent, perſuaderet, proditus Præſidi, & ab illo comprehenſus, graviſſimè primum cæditur: deinde confractis omnibus oris oſſibus, ſuſpenſus diutiſſimè ſcalpitur. Poſt hæc induitur calceamentis ferreis, clavis ingentibus & acutis confixis, cogiturque equis præcurrere ab urbe ſua Diocæſaream, atque inde Seleuciam uſque. Cui hunc in modum currenti obviam facta mulier quædam, lineo panno ſanguinem ejus abſtergebat, oſculabaturque cum lacrymis. Deniquc ſub caprifico collocatus, tam graviter cæditur, donec ſpiritum Domino tradidit. Poſt ejus autem mortem cœpit eſſe ficus fructifera.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Πάπα.

Ὁ Πολύαθλος Μάρτυς τοῦ Χριστοῦ Πάπας, ἦν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐκ τῆς χώρας Λυκίας. Διδάσκων δὲ τὴν ὀρθὴν πίστιν, καὶ ὁμολογῶν παῤῥησίᾳ τὸν Χριστὸν, καὶ πολλοὺς τῶν ἑλλήνων πείθων πιστεύειν εἰς αὐτὸν, κατεμηνύθη τῷ Ἄρχοντι, καὶ κρατηθεὶς παρ' αὐτοῦ, πρῶτον μὲν ἐτύφθη σφοδρῶς. Καὶ συνετρίβη πάντα τὰ ὀστᾶ τοῦ προσώπου. Ἔπειτα κρεμασθεὶς, ἐξέσθη ἐπὶ πολύ. Καὶ μετὰ ταῦτα ὑπεδέθη ὑποδήματα σιδηρᾶ, ἥλους ἔχοντα μακροὺς, καὶ ὀξεῖς. Καὶ ἠλαύνετο τυπτόμενος ἔμπροσθεν ἵππων, ἀπὸ τῆς ἰδίας πόλεως, ἕως τῆς πόλεως Διοκαισαρείας, καὶ ἀπὸ ταύτης, ἕως τῆς Σελευκίας. Τρέχοντι δὲ αὐτῷ ἀπαντήσασά τις γυνὴ ἀπεσπόγγιζε μετὰ λινοῦ τὰ αἵματα αὐτοῦ, καὶ ἠσπάζετο αὐτὰ κλαίουσα. Εἶτα τεθεὶς ὑποκάτω συκῆς ἀγρίας, καὶ τυφθεὶς ἰσχυρῶς, παρέδωκε τῷ Κυρίῳ τὸ πνεῦμα αὐτοῦ. Μετὰ δὲ θάνατον αὐτοῦ, ἐγένετο καρποφόρος ἡ συκῆ.



ΜΗΝΙ ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι

ΙΕ΄.

Ἄθλησις τοῦ ἁγίου Μεγαλομάρτυρος Νικήτα.

Ο Ἔνδοξος Μάρτυς τοῦ Χριστοῦ Νικήτας, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, Γότθος τὸ γένος, εὐγενὴς ἐν τοῖς Γότθοις, καὶ πλούσιος· ὑπὸ δὲ Θεοφίλου τοῦ ὁσιωτάτου Ἐπισκόπου Γοτθίας ἐδιδάχθη πίστιν. Τῶν δὲ Γότθων εἰς δύο μέρη διαχωρισθέντων, καὶ τοῦ μὲν ἑνὸς μέρους ἕνα ἔχοντος Ἄρχοντα, τοῦ δὲ ἄλλου ἕτερον, προσέφυγε τοῦ ἑνὸς μέρους ὁ Ἄρχων τῷ βασιλεῖ τῶν Ῥωμαίων· ἐκστρατεύσας δὲ ὁ βασιλεὺς κατὰ τοῦ ἑτέρου Ἄρχοντος τῶν Γότθων, ἐνίκησεν αὐτὸν, καὶ ὑπέταξε τοὺς Γότθους· καὶ ἀπὸ τότε ἐπληθύνθη τὸ γένος τῶν Χριστιανῶν ἐν αὐτοῖς· πρώτου ὄντος τοῦ ἁγίου Νικήτα, καὶ διδάσκοντος παῤῥησίᾳ τὸν λαὸν τὴν εἰς Χριστὸν πίστιν. Μετὰ δὲ τὴν ὑποστροφὴν τοῦ βασιλέως μανέντες οἱ ἄπιστοι τῶν Γότθων, ἐκίνησαν διωγμὸν κατὰ τῶν Χριστιανῶν· καὶ τοὺς μὲν ἄλλους ἐβασάνισαν διαφόρως· τὸν δὲ ἅγιον Νικήταν πολλὰ τιμωρήσαντες, πυρὶ παρέδωκαν.

Τῇ

EODEM MENSE

Die Decima quinta. 15.

Certamen Sancti magni Martyris Nicetæ.

S. Nicetas M.

NIcetas præclatus Chtiſti Martyt, fuit imperante Conſtantino magno, genere Gotthus, nobilitate, ac divitiis inter populares ſuos florens, à Theophilo religioſiſſimo Gotthiæ Epiſcopo fidem edoctus. Cùm autem in duas factiones tota Gotthorum gens ſciſſa fuiſſet, atque utraque ſuum ſibi Principem creaſſet; confugit alter Principum ad Romanorum Imperatorem: qui cùm ſuſcepta in contrariæ factionis tyrannum expeditione, inſignem ex eo reportaſſet victoriam, Gotthoſque ſubegiſſet, ex eo tempore genus Chriſtianorum inter Gotthos multiplicatum eſt. Horum primus Sanctus Nicetas fuit, qui & ſumma libertate Chriſtianam fidem populo annunciabat. Sed poſtquam teverſus eſt Imperator, Gotthi infideles furore perciti, commota in Chriſtianos perſecutione, alios quidem aliter torſere; Nicetam autem multiplicibus ſuppliciis excruciatum, igni tradidere.

Eo-



Eodem die

Commemoratio Sancti Patris noſtri Philothei Thaumaturgi.

S. Philotheus Presbyt.

PHilotheus Thaumaturgus ſectator Opſicii, presbyter fuit, magouſque Dei ab adoleſcentia cultor: qoippe qui jejuniis, & orationibus aſſiduè vacaret; divitias ſuas pauperibus diſtribueret; & luctu, fletuque dies ſuos traduceret, ſecum reputando graviſſimas in altero ſeculo peccatorum pœnas, gehennam ignis, atque pervigilem vermem. Cùm igitur multos confirmaret, ſuaque doctrioa juvaret, atque inculpatè Liturgiam Deo offerret, accepit donum miraculorum, ut ſcilicet dæmones ejiceret, infirmos curaret, leproſos mundaret, pluvias in maxima ſiccitate adduceret: Deus enim voluntatem timeotium ſe facit, preceſque eorum exaudit. Hæc admiranda opera perpetrans, & accedeotium ad ſe poſtulatis annuens, in pace deceſſit. Et ex pretioſis illius oſſibus in ſepulcro conditis manat mirum in modum ſalutare oleum in hunc uſque diem.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Φιλοθέου τοῦ Θαυματουργοῦ.

ΦΙλόθεος ὁ Θαυματουργὸς, ὑπῆρχε μὲν ἀπὸ τοῦ θέματος Ὀψικίου· ἦν δὲ πρεσβύτερος· πολλὰ δὲ τὸν Θεὸν ἀπὸ νέας ἡλικίας θεραπεύσας, νηστεύων, ἀγρυπνῶν, προσευχόμενος, τὸν πλοῦτον αὐτοῦ σκορπίζων εἰς τοὺς πένητας, ἐν θρήνῳ καὶ κλαυθμῷ τὰς ἡμέρας αὐτοῦ διάγων, διὰ τὸ ἐννοεῖν τὰς ἐκεῖθεν τῶν ἁμαρτωλῶν κολάσεις, καὶ τὴν γέενναν τοῦ πυρὸς, καὶ τὸν ἀκοίμητον σκώληκα· καὶ πολλοὺς ἐπιστηρίζων, καὶ ὠφελῶν διὰ τῆς αὐτοῦ διδασκαλίας, καὶ ἀμέμπτως τῷ Θεῷ λειτουργῶν, ἐδέξατο χαρίσματα θαυματουργίας, δαίμονας ἐκβάλλειν, ἀσθενοῦντας θεραπεύειν, λεπροὺς καθαρίζειν, ὑετοὺς ἐν ταῖς ἀβροχίαις κατάγειν· ποιεῖ γὰρ ὁ Κύριος τὸ θέλημα τῶν φοβουμένων αὐτὸν, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούει. Οὕτω δὲ θαυματουργῶν, καὶ τοῖς προσερχομένοις αὐτῷ ἑτοίμως τὰς αἰτήσεις παρέχων, ἐν εἰρήνῃ ἐτελειώθη. Καὶ ταφεὶς βρύει παραδόξως ἐκ τῶν τιμίων ὀστέων αὐτοῦ ἰάσεων ἔλαιον μέχρι τῆς σήμερον.



29

Τῇ αὐτῇ ἡμέρᾳ


Ἄθλησις τῶν ἁγίων Μαρτύρων Μαξίμου, Θεοδότου, καὶ Ἀσκληπιοδότης.

ΟὟτοι ἐγένοντο ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ διώκτου τῶν Χριστιανῶν, ὑπάρχοντες ἀπὸ Μαρκιανουπόλεως τῆς Θράκης. Διδάσκοντες δὲ τὸν λόγον τοῦ Θεοῦ, καὶ κατὰ τὰς ἐντολὰς αὐτοῦ πορευόμενοι νυκτὸς καὶ ἡμέρας, καὶ πολλοὺς ἀπὸ τῆς τῶν εἰδώλων πλάνης ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μετάγοντες, ἐκρατήθησαν παρὰ τοῦ τῆς Θράκης στρατηγοῦ. Καὶ πρῶτον μὲν ἐτύφθησαν ῥάβδοις, καὶ ἐξέσθησαν, ἕως ἐφάνη τὰ ὀστᾶ αὐτῶν. Ἔπειτα κοπέντες χεῖρας, πόδας, ὠτία, ἀπερρίφησαν ἐν τῇ γῇ, ὡσεὶ νεκροί. Καὶ ἀρθέντες ἐπὶ ἁμαξῶν, ἤχθησαν εἰς Ἀδριανούπολιν. Καὶ πάλιν κατηναγκάσθησαν ὑπὸ τοῦ στρατηγοῦ, κἂν λόγῳ μόνῳ θῦσαι τοῖς εἰδώλοις. Ὡς δὲ οὐκ ἐπείσθησαν τοῦτο ποιῆσαι, ἀλλὰ μᾶλλον ἐμυκτήρισαν τὰ εἴδωλα, εἰπόντες, ὅτι οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνιά εἰσι, καὶ ἐπικατάρατοι ὑπάρχουσι καὶ αὐτοί, καὶ οἱ σεβόμενοι αὐτούς, τὰς κεφαλὰς ἀπετμήθησαν. Καὶ σὺν αὐτοῖς ἐτελειώθη ἡ Μάρτυς Ἀσκληπιοδότη καὶ συγγενὴς αὐτῶν.

Eodem die

Certamen Sanctorum Martyrum Maximi, Theodoti, & Aſclepiodotes.

ISti imperante Maximiano Chriſtianorum perſecutore, ex Marcianopoli Thraciæ urbe fuerunt. Cùm autem verbum Dei docerent, & in omnibus ejus præceptis die ac nocte incederent, multoſque ab idolorum errore ad Dominum noſtrum Jeſum Chriſtum converterent, comprehenſi à copiarum Thraciæ Duce, cæſi primum virgis, depexique ſunt, donec oſſa eorum apparerent. Deinde præciſis manibus, pedibus, ac auribus, tamquam mortui in terram abjecti ſunt. Poſt hæc plauſtris impoſiti, Adrianopolim vehuntur: ubi rurſus à copiarum Duce impellebantur idolis ſaltem verbo ſacrificare. At illi non modo id facere detrectarunt; ſed potius idola ridentes, aſſerebant, deos gentium eſſe dæmonia, atque unà cum cultoribus ſuis execrandos. Quare capite damnati occubuerunt. Sed & unà cum ipſis Aſclepiodote eorumdem affinis martyrio defuncta eſt. SS. Maximus, Theodotus, & Aſclepiodote, MM.



Eodem die

Commemoratio Sanctiſſimi Martini Papæ Romæ.

S. Martinus Papa.

SAnctus Pater noſter & Confeſſor Martinus, Conſtante Heraclii nepote Imperatore, antiquæ Romæ Papa fuit. Cùm verò Conſtans iſte hæreticus Monothelita eſſet, eandemque hæreſim Paulus Conſtantinopolitanus Patriarcha ſequeretur, id reſciens Martinus Papa, tùm Imperatorem, tùm Patriarcham per literas monuit, ut Monothelitarum hæreſim abjurarent. Sed cùm nihil effeciſſet, convocata Romæ Synodo, anathemate damnavit & hæreſim, & eos, qui huic addicti eſſent. Id ubi cognovit Imperator, Martinum Conſtantinopolim accerſit, pollicerturque, ſe omnia, quæcumque vellet, facturum eſſe, cùm tamen per ſimulationem & fraudem hæc ageret. Veniens ergo ſanctus, cum ſumma ignominia accipitur ab Imperatore, & à Patriarcha, boniſque mulctatus, in tenebricoſum carcerem conjicitur. Deinde in urbem Cherſonam relegatus, ibique multa gravia paſſus, deceſſit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγιωτάτου Μαρτίνου Πάπα Ῥώμης.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν, καὶ ὁμολογητὴς Μαρτῖνος ὑπῆρχε Πάπας τῆς παλαιᾶς Ῥώμης, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ ἐγγόνου Ἡρακλείου. Ἐπεὶ δὲ οὗτος ὁ Κωνσταντῖνος ἦν αἱρετικὸς μονοθελήτης, ὁμοίως καὶ Παῦλος ὁ Κωνσταντινουπόλεως Πατριάρχης, μαθὼν περὶ τούτου ὁ Πάπας Μαρτῖνος, ἐδήλωσε διὰ γραμμάτων τῷ βασιλεῖ, καὶ τῷ Πατριάρχῃ, ἀρνήσασθαι τὴν τῶν μονοθελητῶν αἵρεσιν. Καὶ μὴ πείσας αὐτοὺς, συνεκάλεσε τὴν ἐν Ῥώμῃ σύνοδον, καὶ ἀνεθεμάτισε τὴν τοιαύτην αἵρεσιν, καὶ τοὺς ταύτῃ προσκειμένους. Εἶτα μετεκλήθη παρὰ τοῦ βασιλέως μαθόντος τοῦτο, καὶ δηλώσαντος αὐτῷ ἐλθεῖν εἰς Κωνσταντινούπολιν, ἐπὶ τῷ ποιῆσαι πᾶν, εἴτι βούλοιτο. Τὸ δὲ ἦν δόλος. Ἐλθόντα γὰρ τὸν ἅγιον ἠτίμωσαν ὅτε βασιλεὺς, ὅτε Πατριάρχης. Καὶ δημεύσαντες ἀπέκλεισαν εἰς σκοτεινὴν φυλακήν. Εἶτα ἐξωρίσθη εἰς Χερσῶνα τὴν πόλιν· καὶ ἐν αὐτῇ πολλὰ δεινὰ παθὼν, ἐτελειώθη.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Πορφυρίου.

ΠΟρφύριος ὁ Μάρτυς ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, τέρπων ἐπὶ τραπέζης αὐτοῦ, καὶ ποιῶν, ὅσα καὶ οἱ μιμολόγοι. Ὅτε δὲ εἶδεν αὐτὸν ἀρνησάμενον τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ προσκυνήσαντα τὰ εἴδωλα, Θεοὺς ἑαυτοῦ ποιησάμενον αὐτὰ, ζήλῳ θείῳ κινηθεὶς, ἤλεγξεν αὐτὸν ἐνώπιον τῆς συγκλήτου πάσης, παραβάτην αὐτὸν εἰπὼν, καὶ δυσσεβῆ, καὶ παράνομον, καὶ ἀχάριστον τῆς εἰς αὐτὸν γενομένης εὐεργεσίας τοῦ Θεοῦ, καὶ βασιλείας. Ὅθεν ὀργισθεὶς ὁ Ἰουλιανὸς, πρῶτον μὲν ἐτιμωρήσατο αὐτὸν ἀνηλεῶς, ἐν πολλαῖς καὶ πικραῖς βασάνοις. Καὶ τὸ σῶμα αὐτοῦ ὅλον κατέξανε, ταῖς μάστιξι τύπτων, ἕως ἐγυμνώθη τὰ ὀστᾶ. Εἶτα προσέταξε τοῖς δημίοις ἀποκεφαλίσαι αὐτόν. Καὶ οὕτω δεξάμενος τὴν ἀπόφασιν, ἀπήχθη δέσμιος ἐπὶ τὸν τόπον τῆς σφαγῆς. Καὶ ξίφει πληγεὶς, ἐτελειώθη· ἀντὶ τοῦ προσκαίρου βασιλέως, κτησάμενος τὸν ἀθάνατον, καὶ ἀντὶ τῆς φθαρτῆς τρυφῆς, τὴν αἰώνιον ἀπόλαυσιν.

Eodem die

Certamen Sancti Martyris Porphyrii.

POrphyrius martyr, Imperarore Juliano apoſtara, elaruir, quem menſæ aeeumbentem jocis, ac ſalibus, mimicam artem exercens, delectare conſueverat. Cùm autem animadvertiſſet, illum ejurato Domino noſtro Jeſu Chriſto idola eolcre, eaque pro diis habere, divino zelo accenſus, vehemenrer eum objurgavit eoram univerſo Senatu, prævaricatorem, impium ac ſceleſtum appellans, atque ingratum in Deum, qui tanta ipſi beneficia, & Imperium contulerat. Quare excandeſcens Julianus, variis eum prius acerbiſque tormentis crudelirer excruciavir; rotum deinde illius corpus flagellis cædendo adeo laeeravit, ut oſſa nudarentur. Poſtremo præcepir lictoribus, ur eum deeollarent. Qua accepta ſententia, vinctus ad locum ſupplicii adductus, & gladio percuſſus occubuit, pro remporario rege immortalem adeprus, & pro corruptibilibus delieiis æretnam felieiratem. S. Porphyrius M.



Eodem die

Certamen Sanctæ Martyris Melitinæ.

S. Melitina Martyr.

MElitina martyr, Antonino Romanorum Cæſare, ex Marcianopoli Thraciæ urbe fuit. Cùm autem Chriſtum prædicaret, comprehénſa ab Antiocho ejuſdem urbis præſide, confeſſaque ſe Chriſtianam eſſe, graviſſimè cæditur. Deinde pertracta in idolorum templum, ut immolaret, fuſis ad Deum precibus effecit, ut idola conciderent, & contererentur. Ex quo factum eſt, ut Græcorum multi unà cum præſidis uxore in Chriſtum crederent. Quare flagris iterum cæſa, in carcerem detruditur: deinde educta, nudataque ſuſpenditur, & in lateribus ſcalpitur; rurſuſque in alterum idolorum fanum, ut ſacrificaret, ducta, Deum precatur; ſtatimque collapſa idola in fruſta conteruntur. Quamobrem lata in eam ſententia, gládio caput ei amputatum fuit: cujus reliquias Acacius quidam pius ac timens Deum translatas, in inſula Lemno condidit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Μελιτινῆς.

Ἡ Μάρτυς Μελιτινὴ ὑπῆρχεν ἀπὸ Μαρκιανουπόλεως τῆς Θράκης ἐπὶ Ἀντωνίνου Καίσαρος Ῥωμαίων. Τὸν Χριστὸν δὲ κηρύττουσα, ἐκρατήθη παρὰ τοῦ Ἀντιόχου τοῦ τῆς αὐτῆς πόλεως Ἄρχοντος. Καὶ ὁμολογήσασα ἑαυτὴν Χριστιανὴν, ἐτύφθη σφοδρῶς. Εἶτα ἠναγκάσθη εἰσελθεῖν εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ θῦσαι. Καὶ εἰσελθοῦσα ηὔξατο πρὸς τὸν Θεὸν, καὶ ἔπεσον τὰ εἴδωλα, καὶ συνετρίβησαν. Ἐκ τούτου ἐπίστευσαν τῷ Χριστῷ Ἕλληνες πολλοί· ἀλλὰ καὶ αὐτὴ ἡ τοῦ Ἄρχοντος γυνή. Καὶ πάλιν τυφθεῖσα ἐῤῥίφη εἰς φυλακήν. Καὶ πάλιν τῆς φυλακῆς ἐξελθοῦσα ἐκρεμάσθη γυμνὴ, καὶ ἐξέσθη τὰς πλευράς. Καὶ πάλιν εἰσαχθεῖσα εἰς ἕτερον ναὸν εἰδωλικὸν, θῦσαι, ηὔξατο· καὶ πεσόντα τὰ εἴδωλα διεσκορπίσθησαν εἰς μικρά. Τότε λαβοῦσα τὴν διὰ ξίφους ἀπόφασιν, ἀπεκεφαλίσθη. Τὸ δὲ λείψανον αὐτῆς ἀνελόμενος ἀνὴρ εὐλαβὴς, καὶ φοβούμενος τὸν Θεὸν, Ἀκάκιος ὄνομα, καὶ ἀπαγαγὼν ἐν τῇ νήσῳ τῆς Λήμνου κατέθετο.



ΜΗΝῚ ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι

Ιϛʹ.

Ἄθλησις τῶν ἁγίων τριῶν παρθένων καὶ ἀδελφῶν, Πίστεως, Ἐλπίδος, Ἀγάπης, καὶ τῆς μητέρος αὐτῶν Σοφίας.

Ἡ Μάρτυς τοῦ Χριστοῦ Σοφία, μετὰ τῶν τριῶν αὐτῆς θυγατέρων, ὑπῆρχεν ἀπὸ τῆς χώρας Ἰταλίας. Ἀγαπῶσα δὲ γενέσθαι Χριστιανὴ, παραλαβοῦσα τρεῖς αὐτῆς θυγατέρας, ἐπὶ τῆς Ἀδριανοῦ βασιλείας, ἀπῆλθεν εἰς Ῥώμην, καὶ ἐβαπτίσθη μετ᾽ αὐτῶν κρύφα ὑπὸ τοῦ τῆς Ῥώμης Ἐπισκόπου. Καὶ μετὰ τὸ βαπτισθῆναι, ἐδίδασκον καὶ ἄλλους τὰ περὶ τοῦ Χριστοῦ. Καὶ πολλοὺς ἐπίστρεφον ἐπὶ τὸν Κύριον· διαγνωσθεῖσαι δὲ ἐκρατήθησαν παρὰ Ἀδριανοῦ, καὶ ἐβασανίσθησαν. Καὶ πρῶτον μὲν ἡ ἁγία Πίστις δώδεκα ἐτῶν ὑπάρχουσα, κρεμασθεῖσα, καὶ ξεσθεῖσα, ἀπεκεφαλίσθη. Ἔπειτα ἡ δευτέρα ἀδελφὴ Ἐλπὶς, δέκα ἐτῶν οὖσα, ῥάβδοις τυφθεῖσα, καὶ αὐτὴ ἀπεκεφαλίσθη. Καὶ τρίτη ἡ ἁγία Ἀγάπη ἔννατον χρόνον ἄγουσα, ἐν καμίνῳ βληθεῖσα, καὶ ἀβλαβὴς ἐξελθοῦσα, ξίφει κατεκόπη. Ἡ δὲ μήτηρ αὐτῶν Σοφία εὐχαριστοῦσα τῷ Θεῷ ἐπὶ πᾶσιν, ἔθαψεν αὐτὰς, καὶ ἐπὶ τῷ τάφῳ πεσοῦσα καὶ κλαύσασα, ἀπέδωκε τὴν ψυχήν.

Τῇ


EODEM MENSE

Die Decima ſexta. 16.

Certamen Sanctarum trium virginum, ac ſororum, Fidei, Spei, Charitatis: earumque matris Sophiæ.

Martyr Chriſti Sophia cum tribus filiabus ex regione Italiæ fuit. Cùm autem Chriſtianam fidem amplecti deſideraret, aſſumptis tribus filiabus ſuis, Adriano imperante, Romam profecta, ab ejuſdem urbis Epiſcopo occultè unà cum illis baptizata eſt. Poſt ſuſceptum baptiſmum docebant alios quam ipſæ didicerant Chriſti fidem, multoſque ad Dominum convertebant. Quod ubi reſcitum eſt, correptæ ab Adriano, tortæ fuerunt. Et primum quidem ſancta Fides duodecimo ætatis anno ſuſpenſa, ſcalptaque obtruncatur. Secundo loco ſoror ejus Spes decimum annum agens, virgis cæſa, & ipſa capite damnatur. Tertio ſancta Charitas nono ætatis anno in fornacem injicitur; ſed educta illæſa, gladio percutitur. At mater earum Sophia gratias Deo de omnibus agens, ad ſepulcrum, in quod filias detulerat, advoluta, ploranſque, animam emiſit. SS. Fides, Spes, Charitas, earumque mater Sophia.

Eo-



Eodem die

Certamen Sanctæ Martyris Agathocliæ.

S. Agathoclia M.

MArtyr Agathoelia, profeſſione Chriſtiana, ſerva Nicolai cujuſdam, Paulinæque ejus uxoris, qui prius Chriſtiani fuerant, deinde à Chriſto deficientes, idola colebant; ſollicitabatur & ipſa, ut Chriſtum abnegaret, & ad idolorum cultum ſe transferret. Verùm cùm ad id induci nequiret, annos octo excruciata fuit, adhibitis per ſingulos dies diverſis tormentis. Nam aliquando aſperis ſaxis in ſpondylo & facie; aliquando virgis in capite & humeris cædebatur. Sed cùm in Chriſti fide conſtans permaneret, ferreo malleo comminuitur: tùm præciſa lingua in carcerem conjicitur, propoſito interdicto, nequis ei cibum afferret. Verùm diſponente Deo, luſcinia avicula arboreos fructus deferens, illam alebat. Poſtremo domina ejus ingreſſa carcerem, candenti vecte ferreo eam interemit,

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἀγαθοκλίας.

Η Μάρτυς Ἀγαθοκλία, ὑπῆρχε μὲν Χριστιανή· δούλη δὲ Νικολάου τινός, καὶ Παυλίνης τῆς γυναικὸς αὐτοῦ, τῶν γεγονότων Χριστιανῶν, καὶ μετὰ ταῦτα καταλιπόντων τὸν Χριστιανισμόν, καὶ τὰ εἴδωλα προσκυνούντων. Ἠναγκάζετο οὖν καὶ ἡ Μάρτυς ἀρνήσασθαι τὸν Χριστόν, καὶ προσελθεῖν τοῖς εἰδώλοις. Καὶ μὴ πειθομένη, ἐτιμωρεῖτο ἐπὶ χρόνοις ὀκτὼ, καθημέραν διαφόροις ἐξεταζομένη βασάνοις· ποτὲ μὲν μετὰ λίθων τραχέων τυπτομένη κατὰ τοῦ σπονδύλου, καὶ τοῦ προσώπου, Ποτὲ δὲ μετὰ ῥάβδων κατὰ τῆς κεφαλῆς, καὶ τῶν ὤμων. Μὴ πεισθεῖσα δὲ ἀρνήσασθαι τὸν Χριστόν, μετὰ σφύρης σιδηρᾶς συντρίβεται, καὶ τὴν γλῶσσαν ἐκτέμνεται, καὶ εἰς φυλακὴν ἀποκλείεται· παραγγελίας γινομένης, μὴ δοθῆναι αὐτῇ παρά τινος τροφήν. Κατ' οἰκονομίαν δὲ Θεοῦ ὄρνις ἡ λεγομένη Ἀηδών, φέρουσα μικρὰ ἀκρόδρυα, διέτρεφεν αὐτήν. Εἶτα εἰσελθοῦσα ἡ κυρία αὐτῆς ἐν τῇ φυλακῇ, μετὰ μόχλου σιδηροῦ πεπυρακτωμένου ἀνεῖλεν αὐτήν.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΙΖ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Λουκίας τῆς χήρας, καὶ Γεμινιανοῦ τοῦ πνευματικοῦ υἱοῦ αὐτῆς.

Ἡ Μάρτυς Λουκία ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐν Ῥώμῃ τῇ πόλει· πλουσία μὲν σφόδρα, καὶ περιφανής· χρόνων δὲ οὖσα ἑβδομηκονταπέντε, χηρεύσασα ἔτη τριακονταέξ. Ἔχουσα δὲ υἱὸν γνήσιον, ὀνόματι Εὐτρόπιον, εἰδωλολάτρην, οὐκ ἐδυνήθη πεῖσαι αὐτὸν προσελθεῖν τῷ Χριστῷ, ἀλλὰ μᾶλλον κατεμηνύθη παρ' αὐτοῦ τῷ Μαξιμιανῷ. Καὶ κρατηθεῖσα, καὶ μὴ πεισθεῖσα θῦσαι τοῖς εἰδώλοις, ἐνεβλήθη εἰς λέβητα πεπληρωμένην μολύβδου, καὶ πίσσης κοχλάζοντα. Καὶ ἐξελθοῦσα ἀβλαβὴς, περιήγετο τὴν πόλιν τυπτομένη. Συναντήσας δὲ ὁ ἅγιος Γεμινιανὸς, καὶ ἠκολούθησεν αὐτῇ. Καὶ μετὰ μικρὸν βαπτισθεὶς, ἐκλήθη αὐτῆς υἱὸς πνευματικός, καὶ σὺν αὐτῇ ἐλθὼν εἰς πρόσωπον τοῦ βασιλέως, ὡμολόγησε τὸν Χριστὸν, καὶ ἐτιμωρήθη. Εἶτα ὑπὸ ἁγίου Ἀγγέλου ἀπήχθησαν εἰς τὸ Ταυρομένιον. Καὶ ὁ μὲν Γεμινιανὸς παρὰ τοῦ Ἄρχοντος ξίφει ἐτελειώθη. Ἡ δὲ Λουκία ἐν εἰρήνῃ ἐκοιμήθη.

ΜΗΝΙ


EODEM MENSE

Die Decima ſeptima. 17.

Certamen Sanctorum Martyrum Luciæ Viduæ, & Geminiani filii ejus ſpiritualis.

LUcia martyr, imperante Maximiano, in urbe Roma opibus ac generis nobilitate claruit. SS. Lucia Vidua, & Geminianus. Cùm autem ſeptuageſimum quintum ætatis annum ageret, trigeſimum verò ſextum in viduitate expleviſſet, filiumque ſuum legitimum, Eutropium nomine, idolorum ſuperſtitioni addictum, ad Chriſti fidem trahere ſumma contentione ſtuderet; tantum abfuit, ut ab errore illum avocaret, ut matrem potius ipſe ſuam ad Maximianum deferret. Quamobrem correpta, cùm idolis ſacrificare recuſaret, in lebetem ferventi plumbo, & pice plenum injicitur. Sed indemnis inde & incolumis egreſſa, traducta per urbem & circumacta, cæditur. Cui ſanctus Geminianus obviam factus, ſecutuſque eam, & paulo poſt baptizatus, appellatur ſpiritualis illius filius: atque unà cum ipſa in conſpectum Imperatoris veniens, Chriſtum profitetur. Quamobrem tormentis excruciatur. Sed à ſancto Angelo Tauromenium adducti, ibi Geminianus quidem gladio à præſide percutitur; Lucia verò in pace obdormivit.

EO-



EODEM MENSE

18. **Die Decima octava.**

Certamen ſacroſancti Martyris Simeonis Epiſcopi Hieroſolymorum.

S. Simeon Ep. Hieroſolem.

SAcroſanctus martyr Simeon floruit Trajano Imperatore, ſecundus à Jacobo fratre Domini Hieroſolymorum Epiſcopus. Erat enim conſobrinus & ipſius Domini, & Jacobi, Cleopa patre natus. Hic enim, & Joſephus pater Domini ſecundùm carnem appellatus, germani fratres erant. Simeon autem accuſatus à Judæis, quod Chriſtum prædicaret, comprehenſus à Græcorum præfectis, graviſſimè cæditur. Deinde multis tormentis ſubjectus, in carcerem conjicitur, ut fame & ſquallore conficeretur. Inde eductus, cùm nulla ratione adduci poſſet, ut Chriſtum abnegaret, cruci clavis affixus, mortem occubuit, annos natus centum & viginti: cujus ſacrum corpus propinqui terræ commendarunt; felix verò anima in cœlum aſcendens, unà cum ſanctis in æternum gaudet in Chriſto Jeſu Domino noſtro.

Eo-

ΜΗΝῚ Τῼ͂ ΑΥ̓Τῼ͂

ΙΗʹ.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Συμεὼν Ἐπισκόπου Ἱεροσολύμων.

ΣΥμεὼν ὁ Ἱερομάρτυς, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ, δεύτερος Ἐπίσκοπος Ἱεροσολύμων γενόμενος, μετὰ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. Ἦν δὲ ἐξάδελφος αὐτοῦ τε τοῦ Κυρίου, καὶ τοῦ Ἰακώβου, υἱὸς γεγονὼς τοῦ Κλεώπα. Οὗτος γὰρ, καὶ Ἰωσὴφ ὁ χρηματίσας κατὰ σάρκα πατὴρ τοῦ Κυρίου, μᾶλλον δὲ ὀνομασθεὶς, ἀδελφοὶ νόμιμοι ἦσαν. Οὗτος δὲ ὁ Συμεὼν κατηγορηθεὶς παρὰ τῶν Ἰουδαίων, ὡς κηρύττων τὸν Χριστὸν, καὶ κρατηθεὶς ὑπὸ τῶν Ἀρχόντων τῶν Ἑλλήνων, ἐτύφθη σφοδρῶς. Καὶ πολλαῖς βασάνοις ἐξετασθεὶς, ἀπεκλείσθη εἰς φυλακὴν, λιμῷ καὶ κακουχίᾳ δαπανώμενος. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς, καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πεισθεὶς, σταυρῷ προσηλωθεὶς, τὸν βίον ἀπέλιπεν, ὑπάρχων ἐτῶν ἑκατὸν εἴκοσι. Καὶ τὸ μὲν ἱερὸν σῶμα αὐτοῦ παρὰ τῶν συγγενῶν αὐτοῦ παρεδόθη τῇ γῇ· ἡ δὲ μακαρία αὐτοῦ ψυχὴ ἀνελθοῦσα εἰς οὐρανοὺς, μετὰ τῶν ἁγίων εὐφραίνεται αἰωνίως, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου Εὐμενίου Ἐπισκόπου Γορτύνης, τοῦ Θαυματουργοῦ.


Εὐμένιος ὁ Θαυματουργὸς ὑπῆρχεν ἀπὸ νέας ἡλικίας Χριστιανὸς εὐλαβὴς, καὶ τὸν Θεὸν φοβούμενος. Πλούσιος δὲ ὢν διεσκόρπιζεν εἰς τοὺς πτωχοὺς πάντα τὰ ὑπάρχοντα αὐτῷ. Αὐτὸς δὲ ἦν νηστεύων, καὶ προσευχόμενος πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ· ἐκπληρῶν καὶ τὴν τοῦ μεγάλου Ἀποστόλου Παύλου παραίνεσιν. Καὶ γὰρ ἔχαιρε μετὰ χαιρόντων, καὶ ἔκλαιε μετὰ κλαιόντων. Ἀεὶ δὲ περιέφερεν ἐπὶ τοῦ προσώπου τὸ δάκρυον. Εἶχε δὲ καὶ τοῦτο ἔργον, τὸ μηδέποτε παραδέξασθαι διαβολὴν κατά τινος, ἢ κατακρῖναι ἄνθρωπον. Ἀλλ᾽ εἴποτε καὶ ἤκουσε κατὰ ἀνθρώπου τι πταῖσμα, ἐνόμιζεν, ὅτι αὐτὸς τοῦτο ἐποίησε. Διὰ οὖν τὰ τοιαῦτα αὐτοῦ κατορθώματα ἐκλεγεὶς παρὰ τοῦ κλήρου καὶ τοῦ λαοῦ, προεχειρίσθη Ἐπίσκοπος Γορτυνῆς, τῆς Κρητῶν νήσου. Καὶ ζήσας ἐν τῇ Ἀρχιερωσύνῃ χρόνους πολλοὺς, καὶ πολὺν λαὸν διδάξας τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ θαυμάτων πολλῶν χάριν λαβὼν, ἐκοιμήθη, θαυματουργῶν καὶ μετὰ θάνατον ἕως τοῦ νῦν.

Eodem die

Commemoratio Sancti Eumenii Epiſcopi Gortynæ, Thaumaturgi.

S. Eumenius Epiſc. Gortynæ

EUmenius Thaumaturgus ab adoleſcentia ſua Chriſtianus, ſumma Deum pietate, ac timore colebat. Cùm autem dives eſſet, facultates ſuas omnes in pauperes erogavit; ipſe verò cunctos vitæ ſuæ dies in jejuniis, & orationibus tranſigebat: adhortationemque illam Magni Apoſtoli Pauli diligenter implens, gaudebat cum gaudentibus, & flebat cum flentibus, oculoſque lacrymis ſemper conſperſos circumferebat. Illud præterea agebat, ut obtrectationibus adverſus neminem aures accommodaret, neque ullum ipſe condemnaret: imo ſi cujus forte peccatum audiſſet, putabat ſe illum ipſum eſſe, qui peccaſſet. Ob hæc igitur rectè facta, à Clero populoque delectus, Gortynæ urbis Cretæ inſulæ Epiſcopus ordinatus eſt. Quo in Pontificatu cùm multos annos vixiſſet, multoſque populos quæ ad regnum cœlorum pertinent docuiſſet, donumque multorum miraculorum accepiſſet, obdormivit, miraculis etiam poſt mortem inſignis uſque in præſentem diem.



Eodem die

Certamen Sanctæ Martyris Ariadnes.

S. Ariadne Martyr.

ARiadne martyr floruit Adriano & Antonino Imperatoribus. Hæc Chriſtiana, & cujuſdam opulenti hominis, qui Phrygiæ principatum tenebat, ſerva, die quadam cùm filii heri ſui natales celebrarentur, compellitur idolorum fanum unà cum illis ingredi, feſtumque diem agere. Quod cùm facere nollet, crudeliſſimè cæditur: deinde carceri tradita, inedia macetatur: inde educta, ad regionis præfectum adducitur, ut torqueretur: à quo iterùm impulſa idolis ſacrificare, cùm ad id induci nequiret, ſuſpenditur, & in lateribus ſcalpitur. Mox ſoluta è carcere, arrepta occaſione, ad montem fugam intendit. Quod ubi cognovere milites, inſecuti eum gladiis eam ſunt. At illa cùm ſibi nullum patere effugium cerneret, Deum oravit, ut ab illis liberaretur: ſtatimque diſciſſa, divino nutu, petra illam excepit, iterumque clauſa & coagmentata, eidem gratias agenti, ac decedenti pro ſepulcro fuit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἀριάδνης.

Ἡ Μάρτυς Ἀριάδνη ὑπῆρχεν ἐπὶ Ἀδριανοῦ καὶ Ἀντωνίνου τῶν βασιλέων. Χριστιανὴ μὲν, δούλη δὲ πλουσίου τινὸς πρώτου τῆς χώρας Φρυγίας. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν, γενεθλίων γενομένων τοῦ υἱοῦ τοῦ κυρίου αὐτῆς, ἠναγκάσθη ἐν τῷ ναῷ τῶν εἰδώλων ἀπελθεῖν μετ' αὐτῶν, καὶ συνεορτάσαι αὐτοῖς. Μὴ πεισθεῖσα δὲ, ἐτύφθη ἀνηλεῶς, καὶ ἐνεβλήθη εἰς φυλακήν. Καὶ ἐλιμοκτονήθη ἰσχυρῶς. Εἶτα τῆς φυλακῆς ἐκβληθεῖσα παρεδόθη τῷ τῆς χώρας Ἄρχοντι, ἐπὶ τῷ τιμωρηθῆναι. Καὶ ὑπ' ἐκείνου πάλιν ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, ἐκρεμάσθη, καὶ τὰς πλευρὰς ἐξέσθη. Ἀπολυθεῖσα δὲ τῆς φυλακῆς, καὶ εὑροῦσα διωρίαν, πρὸς τὸ ὄρος ἐξέδραμε φεύγουσα. Γνόντες δὲ τοῦτο οἱ στρατιῶται, κατεδίωκον αὐτὴν μετὰ ξιφῶν. Καὶ ἰδοῦσα, ὅτι κατασφάζεται, ηὔξατο πρὸς τὸν Θεὸν λυτρωθῆναι ἀπ' αὐτῶν. Καὶ σχισθείσης πέτρας, προστάγματι Θεοῦ, εἰσῆλθεν ἐν αὐτῇ, τῆς πέτρας πάλιν ἀσφαλισθείσης, καὶ κρυψάσης αὐτὴν ἔσωθεν, ἕως οὕτως εὐχαριστοῦσα ἐτελειώθη.



ΜΗΝῚ ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι

ΙΘʹ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Τροφίμου, Δορυμέδοντος, καὶ Σαββατίου.

Οὗτοι οἱ Μάρτυρες ὑπῆρχον ἐπὶ τῆς βασιλείας Πρόβου. Τελουμένου δὲ ἱπποδρομίου εἰς Ἀντιόχειαν τῆς Πισιδίας, εἰσελθόντες εἰς τὸ θέατρον ὁ Τρόφιμος, καὶ ὁ Σαββάτιος, καὶ ἰδόντες τοὺς Ἕλληνας θύοντας τοῖς εἰδώλοις, ἐστέναξαν ἐκ ψυχῆς, καὶ εἶπον πρὸς τὸν Θεόν· Κύριε δὸς τοῖς πεπλανημένοις ἀνθρώποις τούτοις καταλιπεῖν τὰ εἴδωλα, καὶ γνωρίζειν σε τὸν μόνον Θεὸν, καὶ τὸν μονογενῆ σου Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Τοῦτο δὲ εἰπόντες, καὶ γνωσθέντες Χριστιανοὶ εἶναι, ἐκρατήθησαν παρὰ τοῦ Ἄρχοντος. Καὶ πρῶτον μὲν ὁ Τρόφιμος τυφθεὶς, καὶ ξεσθεὶς ἐνεβλήθη εἰς φυλακήν. Εἶτα ἤχθη καὶ ὁ Σαββάτιος, καὶ τὸν Χριστὸν ὁμολογήσας, βασανιζόμενος καὶ ξεόμενος παρέδωκε τὸ πνεῦμα. Μετὰ δὲ ταῦτα ἐκβληθεὶς τῆς φυλακῆς ὁ Τρόφιμος, καὶ ὑποδεθεὶς ὑποδήματα σιδηρᾶ, ἀπεστάλη τῷ Ἄρχοντι τῆς τῶν Συννάδων πόλεως. Καὶ ὑπ' ἐκείνου τιμωρηθεὶς ἀπεκλείσθη. Ὁ δὲ Δορυμέδων ἀπελθὼν πρὸς τὸν Τρόφιμον, ἐγένετο Χριστιανός. Καὶ γνωσθέντες ἀπεκεφαλίσθησαν ἀμφότεροι.

Τῇ

EODEM MENSE

Die Decima nona. 19.

Certamen Sanctorum Martyrum Trophimi, Dorymedontis, & Sabbatii.

HI martyres Imperatore Probo claruerunt. SS. Trophimus, Dorymedon, & Sabbatius MM.
Cùm autem ſpectacula in hippodromo Antiochiæ Piſidiæ ederentur, ingreſſi theatrum Trophimus & Sabbatius, videnteſque idolis Græcos ſacrificare, ſummo dolore affecti, his verbis Deum precati ſunt: Da Domine errantibus iſtis hominibus, ut relictis idolis agnoſcant te ſolum Deum, & unigenitum Filium tuum, & ſanctum Spiritum. Hæc cùm dixiſſent, cogniti Chriſti cultores eſſe, comprehenduntur à Præſide. Et primum quidem Trophimus cæſus ſcalptuſque, in cuſtodiam conjicitur. Poſtea verò productus & Sabbatius, cùm Chriſtum profeſſus fuiſſet, excruciatus dilaniatuſque, ſpiritum tradidit. Poſt hæc Trophimus è carcere eductus, ferreiſque calceamentis indutus, mittitur ad urbis Synadorum Præſidem, à quo etiam tortus, cuſtodiæ traditur. Adiit autem Trophimum Dorymedon, & ex ejus congreſſu Chriſtianus factus eſt. Cogniti igitur, ambo decollati ſunt.



Eodem die

Certamen ſacroſancti Martyris Januarii Epiſcopi Beneventi, & ſociorum ejus.

S. Januarius Epiſc. Beneventi, & Socii MM.

SAcroſanctus martyr Januarius unà cum ſociis Diocletiano Imperarore elaruit. Erat autem urbis Beneventi Epiſcopus: ob Chriſti verò confeſſionem in vineula Puteolis conjectus fuit, unà eum Soſio, Proclo, Eutychio, & Acuſtio Diaconis. Timorheus autem regionis Præfectus Pureolos profectus, cùm ſanctum in vinculis reperiſſet, è carcere eductum, in caminum injecit. Sed eùm inde illæſus & incolumis evaſiſſet, majori furore correptus, præcepit lictoribus, ut nervos pedum ejus præciderent. Quod ſupplicii genus eùm ſanctus fortiter pertuliſſet, iterùm in cuſtodiam conjicitur. Cùm autem Feſtus, & Deſiderius Clerici ex urbe Benevento viſitandi eum cauſa veniſſent, comprehenſi & ipſi, vinculis unà cum Epiſcopo & Diaconis in carcere conſtringuntur. Inde educti, & ad beſtias damnati, neque ab iis læſi, Præfecti juſſu, capite plexi ſunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ἰανουαρίου Ἐπισκόπου Βενεβέντου, καὶ τῆς συνοδίας αὐτοῦ.

ΙΑννουάριος ὁ Ἱερομάρτυς μετὰ τῆς συνοδίας αὐτοῦ, ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, Ἐπίσκοπος γενόμενος τῆς πόλεως Βενεβέντου. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐν δεσμοῖς κατείχετο ἐν Ποτιόλοις, μετὰ Σόσου, Πρόκλου, Εὐτυχίου, καὶ Ἀκουστίου τῶν Διακόνων. Ὁ δὲ Ἄρχων τῆς χώρας Τιμόθεος, ἐλθὼν εἰς Ποτιόλους, καὶ εὑρὼν τὸν ἅγιον εἰς τὰ δεσμὰ, ἐξαγαγὼν τῆς φυλακῆς, ἐνέβαλεν εἰς κάμινον. Καὶ ἐξελθόντα αὐτὸν ἀβλαβῆ ἐκ τῆς καμίνου θεασάμενος, μᾶλλον ἐμάνη. Καὶ προσέταξε τοῖς δημίοις, κόψαι τὰ νεῦρα τῶν ποδῶν αὐτοῦ· ὑπομείνας δὲ καὶ τιμωρίαν ταύτην ὁ ἅγιος, πάλιν ἀπεδόθη τῇ φυλακῇ. Ἐλθόντες δὲ εἰς ἐπίσκεψιν αὐτοῦ ἐκ Βενεβέντου δύο Κληρικοὶ Φαῦστος, καὶ Δεσιδέριος, ἐκρατήθησαν καὶ αὐτοί· καὶ συνεδέθησαν τῷ Ἐπισκόπῳ, καὶ τοῖς Διακόνοις ἐν τῇ φυλακῇ. Εἶτα ἐκβληθέντες, ἐθηριομάχησαν. Καὶ μηδὲν ἀδικηθέντες, προστάξει τοῦ Ἄρχοντος, τὰς κεφαλὰς ἀπετμήθησαν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Eodem die


Ἄθλησις τῶν ἁγίων ΡΝʹ. Μαρτύρων, Νείλου, Πηλέως, Ἡλία, καὶ τῆς συνοδίας αὐτῶν.

Τῶν ἁγίων τούτων Μαρτύρων, οἱ μὲν ἑκατὸν ὑπῆρχον ἐκ τῆς Αἰγύπτου, Χριστιανοὶ ὄντες, καὶ τὸν Χριστὸν παῤῥησίᾳ κηρύττοντες, διὰ τοῦτο κρατηθέντες παρὰ τῶν εἰδωλολατρῶν, τοὺς δεξιοὺς ἐξωρύχθησαν ὀφθαλμοὺς, καὶ τῶν ἀριστερῶν ποδῶν τὰς ἀγκύλας σὺν τοῖς νεύροις ὑπὸ ξίφους διεκόπησαν. Εἶτα ἐκβληθέντες εἰς κάμινον, ἐτελειώθησαν. Οἱ δὲ πεντήκοντα ἦσαν ἐκ τῆς Παλαιστίνης, καὶ διὰ τὸν Χριστὸν τὰ ὅμοια τοῖς ἄλλοις καὶ αὐτοὶ παθόντες παρὰ τοῦ τῆς χώρας Ἄρχοντος, ἀπεκλείσθησαν εἰς φυλακὴν, καὶ κατεδικάσθησαν ἐργάζεσθαι μετὰ τῶν λοιπῶν καταδίκων τὴν ἐργασίαν τῶν μετάλλων. Ὕστερον δὲ καὶ αὐτοὶ προσαχθέντες τῷ δουκὶ, καὶ ποτὲ μὲν παρακλήσεσι, ποτὲ δὲ ἀπειλαῖς ἀναγκασθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, τὴν διὰ τοῦ πυρὸς ἀπόφασιν ἐδέξαντο. Ἀναφθείσης οὖν καμίνου μεγάλης, χαίροντες, καὶ δοξάζοντες τὸν Θεὸν, εἰσῆλθον ἐν αὐτῇ, καὶ ἐτελειώθησαν.

Certamen Sanctorum centum & quinquaginta martyrum, Nili, Pelei, Heliæ, & ſociorum ejus.

SS. CL. Martyres, Nilus, Peleus, Helias, & ſocii.

Horum ſanctorum martyres quidem centum ex Ægypto erant, qui cùm Chriſtiani eſſent, Chriſtumque libere prædicarent, ad idololatris comprehenſi, effoſſo dexrro oculo, præciſiſque ſiniſtri pedis articulis, & nervis, gladio mutilantur: mox in caminum injecti, vivendi finem faciunt. Quinquaginta autem alii ex Palæſtina orti, proprer Chriſtum eadem ſupplicia, ac ſocii, à regionis Præfecto paſſi, truduntur in earcerem: deinde cum eeteris reis ad metalla damnanrur. Poſtremo ad tribunal Ducis producti, cùm modò hortationibus, modò minis ad negandum Chriſtum, & ſacrificandum idolis ſtimularentur, nec ad id faciendum induci poſſent, lata ſententia, ut flammis traderentur, in ſuccenſam ingenrem fornacem injecti, gaudentes Deumque glorificantes oceubuerunt.



EODEM MENSE

Die Vigeſima.

20.

Commemoratio Sanctæ Martyris Chriſti Suſannæ.

S. Suſanna Martyr.

SUſanna ſancta martyr ex regiooe Palæſtinæ fuit, ſacerdotis idolorum nomine Artemii filia. Mortuis autem parentibus verbum veritatis à Silvano Presbytero edocta, baptizatur. Deinde erogatis in pauperes ſuis facultatibus, mundum relinquens, abiit in monaſterium, & mooaſticum inſtitutum amplexa eſt, virilem habitum ferens, ſeque Joannem nominavit, ne à quoquam agnoſceretur. Cùm autem pro viro haberetur, inſimulata fuit à muliere quadam diaboli ſuggeſtione commota, quod rem ſecum habuiſſet; & explorata à virgioe, inventaque femina, magnum attulit accuſanti dedecus. Poſt hæc Eleutheropolim profecta, ob ſuam virtutem ab Epiſcopo Diaconiſſa ordinatur. Quæ cùm liberè Chriſtum prædicaret, correpta à Præfecto, multumque torta, & in carcerem detruſa, migravit ad Dominum.

Eo-

ΜΗΝΙ' ΤΩ͂ ΑΥΤΩ͂

Κ'.

Μνήμη τῆς ὁσιομάρτυρος τοῦ Χριστοῦ Σωσάννης.

ΣΩσάννα ἡ ὁσιομάρτυς, ὑπῆρχεν ἐκ τῆς χώρας Παλαιστίνης, θυγάτηρ ἱερέως τῶν εἰδώλων, ὀνόματι Ἀρτεμίου. Μετὰ δὲ τελευτὴν τοῦ πατρὸς αὐτῆς, καὶ τῆς μητρὸς, διδαχθεῖσα τὸν λόγον τῆς ἀληθείας ὑπὸ Σιλβανοῦ πρεσβυτέρου, ἐβαπτίσθη. Εἶτα τὸν πλοῦτον αὐτῆς διανείμασα τοῖς πτωχοῖς, καὶ καταλιποῦσα τὸν κόσμον, ἀπῆλθεν εἰς μοναστήριον, καὶ γέγονε μοναχὴ, περιβαλλομένη σχῆμα ἀνδρεῖον, καὶ μετονομασθεῖσα Ἰωάννης, πρὸς τὸ μὴ γνωρίζεσθαι. Νομιζομένη δὲ ἀνὴρ, ἐλειδορήθη παρὰ γυναικός τινος ὑποβληθείσης ὑπὸ τοῦ διαβόλου, ὅτι τὰ ἀνδρὸς εἰς αὐτὴν διεπράξατο. καὶ ἐρευνηθεῖσα παρὰ παρθένου, καὶ εὑρεθεῖσα φύσει γυνὴ, ᾔσχυνε τὴν κατήγορον. Εἶτα ἀπελθοῦσα εἰς Ἐλευθερόπολιν, διὰ τὴν ἀρετὴν αὐτῆς, ἐχειροτονήθη ὑπὸ τοῦ Ἐπισκόπου διακόνισσα. Καὶ διὰ τὸ κηρύττειν παρρησίᾳ τὸν Χριστὸν, ἐκρατήθη παρὰ τοῦ ἡγεμόνος. Καὶ πολλὰ βασανισθεῖσα, καὶ εἰς φυλακὴν ἐμβληθεῖσα, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου, καὶ τῆς γυναικὸς αὐτοῦ Θεοπίστης, καὶ τῶν τέκνων αὐτῶν Θεοπίστου καὶ Ἀγαπίου.

Ὁ Μεγαλομάρτυς Εὐστάθιος ὑπῆρχεν ἐν τῇ Ῥώμῃ στρατηλάτης, ἐπὶ Τραιανοῦ τοῦ βασιλέως, λεγόμενος μὲν αὐτὸς Πλακίδας, ἡ δὲ γυνὴ αὐτοῦ Τατιανή. Διὰ δὲ τὴν ἐλεημοσύνην αὐτοῦ ἠθέλησεν ὁ Θεὸς σῶσαι αὐτόν. Κυνηγοῦντι γὰρ αὐτῷ ἐφάνη ὁ Χριστὸς ἐν σχήματι ἐλάφου, ἔχοντος ἐπὶ τῶν κεράτων σταυρὸν λάμποντα ὑπὲρ τὸν ἥλιον· καὶ μέσον εἰκόνα τοῦ Χριστοῦ. Καὶ ἐξῆλθε φωνὴ ἐκ τοῦ ἐλάφου λέγουσα· ὦ Πλακίδα, τί με διώκεις; ἐγώ εἰμι Ἰησοῦς ὁ Χριστός. Πιστεύσας οὖν αὐτῷ, καὶ βαπτισθεὶς σὺν τῇ γυναικί, καὶ τοῖς τέκνοις, καὶ πάσῃ τῇ οἰκίᾳ, τοσοῦτον ἐπολεμήθη ὑπὸ τοῦ διαβόλου, ὥστε μὴ μόνον τὸν πλοῦτον αὐτοῦ ἀπολέσαι, ἀλλὰ καὶ τὴν γυναῖκα αἰχμάλωτον ἰδεῖν, καὶ τὰ παιδία ὑπὸ θηρίων ἁρπαγέντα, καὶ ἑαυτὸν γυμνὸν ἐπὶ ξένης μισθαρνοῦντα, καὶ τρεφόμενον. Ὁ δὲ Θεὸς πάλιν ἐχαρίσατο αὐτῷ καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα, καὶ τὸν πλοῦτον. Ζητηθεὶς γὰρ παρὰ τοῦ βασιλέως, ἀπέλαβε τὸ πρότερον ἀξίωμα. Εἶτα διαγνωσθεὶς εἶναι Χριστιανὸς, ἐκβληθὴ εἰς χαλκοῦν βοῦν ἐκπυρωθέντα, σὺν τῇ γυναικί, καὶ τοῖς τέκνοις, καὶ ἐτελειώθη.

Eodem die

Certamen Sancti magni Martyris Euſtathii, & Theopiſtes uxoris ejus, filiorumque Theopiſti, & Agapii.

MAgnus martyr Euſtathius Dux mili- SS. Euſtathius, & Theopiſte: eorumque filii Theopiſtus, & Agapius.
tiæ, Romæ claruit Trajano Imperatore, eique prius nomen erat Placidus, uxori verò Tatiana. Ob ejus autem eleemoſynam voluit Deus illius ſaluti conſulere. Viſus eſt enim venanti Euſtathio Chriſtus ſpecie cervi, inter cornua crucem ſolis radios vincentem habentis, & in medio imaginem Chriſti: prodiitque ex cervo vox, inquiens: Placide, quid me perſequeris? Ego ſum Jeſus Chriſtus. Credens itaque in illum, baptizatus eſt unà cum uxore, & filiis, totaque domo. Adeo autem à diabolo oppugnatus fuit, ut non ſolum facultatum ſuarum jacturam faceret; ſed & uxorem captivam duci, filioſque à feris rapi, ſeipſum autem nudum in terra aliena, ſibique mercenaria opera victum parare coactum viderit. At Deus uxorem ei, & filios, & divitias reſtituit. Quæſitus enim ab Imperatore, in priſtino dignitatis gradu collocatur. Sed poſtea cognitus Chriſtianus eſſe, in æneum candentem bovem unà cum uxore, & filiis injectus, deceſſit.



54

EODEM MENSE

Die Vigeſima prima.

21.

Commemoratio Sanctorum Patrum noſtrorum Iſacii, & Meletii Epiſcoporum Cypri.

SS. Iſacius, & Meletius Epiſcopi Cypri.

SAncti beatique Patres Iſacius & Meletius diverſis temporibus Epiſcopi eccleſiæ Cypri fuerunt ; Iſacius quidem prior, Meletius verò poſterior : ſed pari tamen uterque pietate claruit. Quippe qui timorem Dei ſemper ſecum circumferentes, & in Pontificatu conſpicui, inculpatè Deo Liturgiam offerebant, omneſque ſuas facultates promptiſſimo animo pauperibus diſtribuebant, tota die, juxta illud Prophetæ, miſerentes, & commodantes non panem ſolum, ſed fidelem etiam in docendo ſermonem. Viduarum curam gerebant, orphanos miſericordia proſequebantur, jacentes erigebant animos, omnibus omnia fiebant, ut omnes lucrifacerent. Cùm igitur ſic vixiſſent, miraculorum donum promeruere ; multoſque admirabilibus curationibus juvantes, in ſumma ſenectute diverſis, ut fertur, temporibus, ſed tamen eodem anni die ad Deum, quem ab ineunte ætate ſummo ſtudio coluerant, migrarunt.

ΜΗΝΙ' ΤΩ͂Ι ΑΥ'ΤΩ͂Ι

ΚΑ'.

Μνήμη τῶν ἁγίων πατέρων ἡμῶν Ἰσακίου, καὶ Μελετίου Ἐπισκόπων τῆς Κύπρου.

ΟἹ ὅσιοι καὶ μακάριοι πατέρες Ἰσάκιος καὶ Μελέτιος γεγόνασιν Ἐπίσκοποι τῆς ἐκκλησίας Κύπρου, κατὰ ἄλλους καὶ ἄλλους καιρούς. Ὁ μὲν Ἰσάκιος πρότερον· ὁ δὲ Μελέτιος ὕστερον, εὐλαβεῖς ἀμφότεροι, καὶ τοῦ Θεοῦ τὸν φόβον ἐν ἑαυτοῖς ἀεὶ περιφέροντες, καὶ τῇ ἀρχιερωσύνῃ καλῶς ἐμπρέποντες, ἀμέμπτως τῷ Θεῷ λειτουργοῦντες, καὶ τοῖς πτωχοῖς προθύμως διανέμοντες πάντα τὰ ὑπάρχοντα αὐτοῖς, καὶ, κατὰ τὸν προφήτην, ὅλην τὴν ἡμέραν ἐλεοῦντες, καὶ δανείζοντες οὐ μόνον τὸν ἄρτον αὐτῶν, ἀλλὰ καὶ τὸν κατὰ τὴν διδαχὴν πιστὸν λόγον· χηρῶν προϊστάμενοι, ὀρφανοὺς οἰκτείροντες, ὀλιγοψύχους παραμυθούμενοι, τοῖς πᾶσι τὰ πάντα γινόμενοι, ἵνα πάντας κερδάνωσιν. Οὕτω δὲ βιοῦντες, ἠξιώθησαν καὶ χαρίσματος θαυμάτων. Καὶ πολλοὺς καὶ διὰ τῶν ἰάσεων ὠφελήσαντες, ἐν βαθυτάτῳ γήρᾳ, κατὰ διαφόρους, ὡς εἴρηται, καιρούς, ἐν τῇ αὐτῇ τῇ τοῦ ἔτους ἡμέρᾳ, πρὸς τὸν Θεὸν, ὃν ἐκ βρέφους ποθήσαντες ἐθεράπευσαν, ἐξεδήμησαν.



55

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Θεοδώρου, τοῦ ἐν Πέργῃ τῆς Παμφυλίας μαρτυρήσαντος.

Θεόδωρος ὁ Μάρτυς, ὑπῆρχεν ἐπὶ Ἀντωνίνου Καίσαρος Ῥωμαίων, προγενέστερος τυγχάνων τοῦ ἁγίου Θεοδώρου, τοῦ ἐν Ἀμασείᾳ μαρτυρήσαντος, ἔτη ἑβδομηκονταέξ. Ἐστρατεύθη δὲ καὶ αὐτὸς εἰς τὸ τάγμα τῶν Τυρώνων, διὰ τὸ νέος εἶναι, καὶ τὴν ἡλικίαν μέγας, καὶ τὸ πρόσωπον εὔμορφος. Ἀλλ᾽ ἀναγκαζόμενος θῦσαι τοῖς εἰδώλοις, καταφρονήσας τῆς ἐπιγείου στρατίας, καὶ τοῦ φθαρτοῦ βασιλέως, καὶ εἰπών· ἐγὼ τῷ ἐπουρανίῳ βασιλεῖ Χριστῷ ἐστρατεύθην, ἀφ᾽ οὗ ἐβαπτίσθην, καὶ τῷ ἐπὶ γῆς βασιλεῖ δουλεύειν οὐ θέλω· ἐκρατήθη παρὰ τοῦ Ἄρχοντος, καὶ τυφθεὶς ἐνεβλήθη εἰς κάμινον· καὶ ἐξῆλθεν ἀβλαβὴς, μηδὲ τὸ τυχὸν σπάραγμα ἔχων. Ἰδόντες δὲ αὐτὸν δύο στρατιῶται, Σωκράτης, καὶ Διονύσιος μηδὲν βλαβέντα ἐκ τοῦ πυρὸς, ἐπίστευσαν τῷ Χριστῷ· καὶ ἀπεκεφαλίσθησαν σὺν τῇ μητέρι τοῦ ἁγίου καλουμένῃ μὲν Φιλίππᾳ, πρὸ ὀλίγου ἐλθούσῃ εἰς ἐπίσκεψιν τοῦ υἱοῦ. Αὐτὸς δὲ πολλαῖς πρότερον βασάνοις ὑποβληθεὶς, ὕστερον σταυρῷ προσηλωθεὶς, πρὸς οὐρανοὺς ἀνέδραμε χαίρων.

Τῇ

Eodem die

Certamen Sancti Martyris Theodori, qui in Perge Pamphyliæ urbe martyrium paſſus eſt.

THeodorus martyr claruit Antonino Romanorum Cæſare, ante ſanctum Theodorum, qui Amaſeæ martyrium ſubiit, annis ſeptuaginta ſex natus. Militavit autem & ipſe in Tyronum legione, quod & ætate florens, & ſtatura magnus, & forma oris venuſtus eſſet. Sed cùm idolis ſacrificare cogeretur, neglecta terreſtri militia, atque Imperatore corruptioni obnoxio: Ego, inquit, cœleſti regi Chriſto ſtipendia facio, ex quo baptizatus ſum; terreno autem ſervire nolo. Quare correptus à Præſide, cæſuſque, in fornacem injicitur. Sed cùm inde, ne minimum quidem detrimentum paſſus, exiiſſet, ea res milites duos Socratem, & Dionyſium, miraculi magnitudine attonitos, ad fidem Chriſti pertraxit: ſtatimque capite damnati ſunt unà cum Philippa ſancti Theodori matre, quæ paulo ante viſendi filii ſtudio venerat. Theodorus autem variis primum tormentorum generibus excruciatus, noviſſimè in crucem actus, in cœlos lætus evolavit. S. Theodorus Martyr.

H Eo-



Eodem die

Certamen ſacroſancti Martyris & Apoſtoli Quadrati Epiſcopi Magneſiæ, & ſociorum ejus.

S. Quadratus Epiſc. Magneſiæ, & ſocii MM.

QUadratus divinus ſacromartyr & Apoſtolus Chriſti, Decio & Valeriano Imperatoribus, urbis Magneſiæ Epiſcopus fuit. Cùm autem audiſſet, Decium Cæſareæ commorari, profectus Magneſia Nicomediam, ut incluſos carceribus ſanctos viſeret, eoſque ad ſubeundum prompto animo pro Chriſto martyrium adhortaretur, deprehenſus fuit à Nicomediæ Proconſule: ad cujus tribunal cum reliquis martyribus productus, cùm primus ipſe impoſturas idolorum coargueret, ceteris cæſis, atque iterum in carcerem detruſis, Cæſaream ad Decium adducitur; à quo cùm nulla arte poſſet induci, ut Chriſtum abnegaret, quæſtioni per varia tormenta ſubjectus, atque ab omnibus divino beneficio ereptus, tandem in caminum vehementer accenſum injicitur. Sed & inde incolumis egreſſus, juſſu Imperatoris, capite plexus occubuit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος καὶ Ἀποστόλου Κοδράτου Ἐπισκόπου Μαγνησίας, καὶ τῆς συνοδίας αὐτοῦ.

ΚΟδρᾶτος ὁ θεῖος Ἱερομάρτυς καὶ Ἀπόστολος τοῦ Χριστοῦ, ὑπάρχων ἐπὶ Δεκίου, καὶ Οὐαλεριανοῦ τῶν βασιλέων, Ἐπίσκοπος τῆς πόλεως Μαγνησίας. Ἀκούσας δὲ, ὅτι Δέκιος διατρίβει ἐν τῇ πόλει Καισαρείας, παρεγένετο ἀπὸ Μαγνησίας εἰς Νικομήδειαν, πρὸς τὸ ἐπισκέψασθαι τοὺς ἐν ταῖς φυλακαῖς ἁγίους. Ἐπισκεπτόμενος δὲ αὐτοὺς, καὶ παρακαλῶν προθύμως μαρτυρεῖν ὑπὲρ τοῦ Χριστοῦ, διεγνώσθη παρὰ τοῦ Νικομηδείας Ἀνθυπάτου. Καὶ παραστὰς τῷ κριτηρίῳ αὐτοῦ, μετὰ τῶν λοιπῶν Μαρτύρων, πρῶτος ἤλεγξε τὴν τῶν εἰδώλων πλάνην. Καὶ οἱ μὲν ἄλλοι τυφθέντες, πάλιν ἐκλείσθησαν· αὐτὸς δὲ παρεπέμφθη εἰς Καισάρειαν τῷ Δεκίῳ. Καὶ ὑπ' ἐκείνου ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πεισθεὶς, διαφόροις βασάνοις ἐξετασθεὶς, καὶ ἐκ πασῶν, Θεοῦ χάριτι, ῥυσθεὶς, ὕστερον εἰς κάμινον ἐνεβλήθη ἰσχυρῶς ἐκκαυθεῖσαν. Ἀλλὰ καὶ ἐκ ταύτης ἀβλαβὴς ἐξελθὼν, προστάξει τοῦ βασιλέως, τὴν ἱερὰν αὐτοῦ ἀπετμήθη κεφαλήν· καὶ οὕτως ἐτελειώθη.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Πρίσκου.

Ὁ Μάρτυς τοῦ Χριστοῦ Πρίσκος, τὸν Θεὸν ἀγαπῶν, καὶ τὸ θεῖον βάπτισμα ἐπιποθήσας, κατέλιπε τὴν πατρικὴν ἀσέβειαν, καὶ γέγονε Χριστιανός. Καὶ διερχόμενος πανταχοῦ ἐκήρυττε παῤῥησίᾳ τὸν Χριστόν· θαρσοποιῶν μὲν πάντας τοὺς Χριστιανοὺς, καὶ πρὸς τὸ μαρτύριον παρακαλῶν, πολλοὺς δὲ καὶ τῶν ἑλλήνων νουθετῶν, καὶ πρὸς τὸν Χριστὸν ἐπιστρέφων, καὶ βαπτίζων. Οὕτω δὲ ποιῶν, διεβλήθη παρὰ τῶν εἰδωλολατρῶν τῷ τῆς χώρας Ἄρχοντι, εἰπόντων πρὸς αὐτὸν, ὅτι τοὺς μεγίστους θεοὺς ἐνυβρίζει, καὶ τῶν βασιλικῶν προσταγμάτων καταφρονεῖ, καὶ πάντας ἀναπείθει σέβεσθαι καὶ προσκυνεῖν Θεὸν ἐσταυρωμένον. Ταῦτα ἀκούσας ὁ Ἄρχων, ὠργίσθη σφοδρῶς· καὶ μετὰ κραυγῆς εἶπε τοῖς στρατιώταις. Ἀχθήτω τάχιον ὁ κακοποιὸς Πρίσκος, καὶ τιμωρείσθω. Κρατηθεὶς οὖν, ἐτύφθη σφοδρῶς· καὶ κρεμασθεὶς, ἐξέσθη τὰς πλευράς. Καὶ μετὰ ξιφῶν κατεκεντήθη. Καὶ τέλος τὴν κεφαλὴν ἀποτμηθεὶς, πρὸς Θεὸν ἐξεδήμησεν.

Eodem die

Certamen Sancti Martyris Priſci.

PRiſcus Chriſti martyr, Dei amore incenſus, ſummaque divini Bapriſmi cupiditate flagrans, poſthabita patria impietate, Chriſtianus efficirur. Quare longe lateque pervagatus, Chriſtum liberè prædicabat, Chriſtianorum omuium aoimos ad martyrium ſubeundum incendens; Græcorum etiam mulros à ſe inſtructos & ad Chriſtum couverſos baptizans. Quæ cùm faceret, ab idololatris ad regionis Præfectum deferrur, quod maximis diis contumeliam inferret, & neglectis Imperatorum mandatis, auctor omnibus eſſet, ut Deum crucifixum colerent & adorarent. Quamobrem exarſit vehemeoti iracundia Præfectus, ac milites inclamare cœpit, ut quamprimum maleficum Priſcum abductum torquereor. Correptus igitur graviſſimè cæditur: deinde ſuſpenſus, in lareribus depectitur, punctimque pugionibus lancinatur: poſtremum capite plexus, migravit ad Deum. S. Priſcus Martyr



EODEM MENSE

22. **Die Vigeſima ſecunda.**

Certamen ſacroſancti Martyris Phocæ Epiſcopi Sinopes.

S. Phocas Episc. Sinopes.


SAcroſanctus Chriſti martyr Phocas in urbe Sinope natus, & educatus, Trajano imperante claruit. Cùm autem adhuc puer eſſet, donum miraculorum à Deo accepit: nam dæmones fugavit, mortuos ſuſcitavit, & naves in maximo diſcrimine poſitas ſervavit. Profectus verò ex urbe Sinope Amaſeam, atque inde Amiſum, ſimilia ubique prodigia edidit, & in fide Chriſti plures confirmavit. Poſtea Sinopem reverſus, ejuſdem urbis ordinatur Epiſcopus, multoſque Græcorum propter miracula ad Chriſtum converſos baptizavit. Cognovit autem per columbam imminere ſibi mortem. Viſus enim ſibi eſt per quietem videre columbam capiti ſuo inſidentem, quæ porrecta ſibi corona, ſic ipſum alloqueretur: Accipe, Phoca, finis tui ſymbolum. Igitur paulo poſt miſſis à Trajano Imperatore lictoribus comprehenſus, & graviſſimè primum tortus, demum abſciſſo capite in ignem conjectus eſt.

ΜΗΝΙ͂ ΤΩ͂ ΑΥ̓ΤΩ͂

ΚΒ΄.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Φωκᾶ Ἐπισκόπου Σινώπης.

Ὁ τοῦ Χριστοῦ Ἱερομάρτυς Φωκᾶς, ἦν ἐπὶ τῆς βασιλείας Τραϊανοῦ, γεννηθεὶς καὶ τραφεὶς ἐν Σινώπῃ τῇ πόλει· παιδίον δὲ ὑπάρχων ἐδέξατο ἐκ Θεοῦ θαυμάτων χαρίσματα· καὶ γὰρ δαίμονας ἀπήλασε, νεκροὺς ἤγειρε, καὶ πλοῖα κινδυνεύοντα διέσωσεν. Ἀπελθὼν δὲ ἀπὸ Σινώπης εἰς Ἀμάσειαν τὴν πόλιν, τὰ ὅμοια διεπράξατο. Εἶτα παρεγένετο εἰς Ἀμισὸν, θαυματουργήσας καὶ ἐκεῖ, καὶ πολλοὺς στηρίξας εἰς τὴν πίστιν τοῦ Χριστοῦ· μετὰ ταῦτα ὑποστρέψας εἰς Σινώπην, Ἐπίσκοπος αὐτῆς προχειρίζεται, καὶ διὰ τῶν θαυμάτων πολλοὺς τῶν ἑλλήνων πρὸς Χριστὸν ἐπιστρέψας ἐβάπτισεν. Εἶτα ἐμηνύθη διὰ περιστερᾶς τὴν μετάστασιν αὐτοῦ. Εἶδε γὰρ κατ' ὄναρ περιστερὰν ἐλθοῦσαν, καὶ καθίσασαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἐπιδοῦσαν αὐτῷ στέφανον καὶ εἰπεῖν. Δέξαι Φωκᾶ τὸ σύμβολον τοῦ τέλους σου. Καὶ μετὰ μικρὸν ἀποστείλας ὁ βασιλεὺς Τραϊανὸς, ἐκράτησεν αὐτόν. Καὶ πολλὰ βασανίσας πρότερον, ὕστερον ἀπεκεφάλισεν. Εἶτα καὶ πυρὶ παρέδωκεν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου Προφήτου Ἰωνᾶ.

Ἰωνᾶς ὁ μέγας καὶ ἔνδοξος Προφήτης, ὑπάρχων ἐκ τῆς χώρας τῶν Ἰουδαίων, καὶ προσταχθεὶς ὑπὸ Θεοῦ ἀπελθεῖν εἰς Νινευὴ τὴν πόλιν, καὶ κηρύξαι, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται, αὐτὸς γινώσκων, ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ συγχωρήσει τοῖς Νινευίταις, ἐὰν μετανοήσωσι· παρακούσας τοῦ Θεοῦ, καὶ ἐμβὰς εἰς πλοῖον, ἐπειρᾶτο φυγεῖν. Ἀλλὰ τῷ προστάγματι τοῦ Θεοῦ ἀγριωθεῖσα ἡ θάλασσα, ἤθελεν αὐτὸν καταπιεῖν. Καὶ βαλόντες κλήρους οἱ ναῦται, καὶ γνόντες, ὅτι δι' αὐτὸν κινδυνεύουσι, λαβόντες ἔῤῥιψαν ἐν τῇ θαλάσσῃ· καὶ αὐτὴ μὲν ἔπαυσεν· αὐτὸν δὲ κατέπιε κῆτος, καὶ μετὰ τρεῖς ἡμέρας ἐξήγαγεν εἰς τὴν γῆν ἀβλαβῆ. Καὶ τότε ἀπελθὼν εἰς Νινευὴ, ἐποίησε τὸ πρόσταγμα τοῦ Θεοῦ. Εἶτα ὑποστρέψας εἰς τὴν γῆν αὐτοῦ, καὶ παραλαβὼν τὴν ἰδίαν μητέρα, ἀπῆλθεν εἰς ξένην χώραν· αἰσχύνην γὰρ εἶχε τὸ κατοικεῖν εἰς τὴν ἰδίαν γῆν, διὰ τὸ ψευσθῆναι τὴν προφητείαν αὐτοῦ. Ὁ γὰρ Θεὸς ἠλέησε τοὺς Νινευίτας μετανοήσαντας. Προφητεύσας δὲ καὶ ἄλλα πολλὰ, ἐτελεύτησε.

Eodem die

Commemoratio Sancti & glorioſi Prophetæ Jonæ.

Jonas magnus & glorioſus Propheta ex regione Judæorum fuit: juſſuſque à Deo in urbem Niniven abire, & prædicare, fore, ut poſt triduum Ninive ſubverteretur; cùm bene noſſet, Deum qua eſt in homines clementia, veniam daturum Niniviris, ſi pœnitentiam agerent; recuſato divino mandato, navigium conſcendit, fugam meditans. Sed mare divina voluntate ſic efferatum eſt, ut eum devorare voluerit. Quamobrem nautæ per ſortes explorantes, illius cauſa in tanto ſe verſari ſalutis diſcrimine, arreptum præcipitem in mare exturbant. Et fluctus quidem maris ſtatim detumuere; Jonam verò cetus devoravit: tertio autem poſt die in terram illæſum expoſuit. Tunc igitur profectus Niniven, præceptum Dei implevit. Mox in regionem ſuam regreſſus, abducta matre alienam terram petiit, cùm eum puderet in patria ſua verſari, quod vaticinium ſuum falſum fuiſſet; nam Deus pœnitentium Ninivitarum miſertus eſt. Cùmque multa alia prophetaſſet, deceſſit.

Jonas Propheta.



Eodem die

Commemoratio Sancti Jonæ, patris Theodori, & Theophanis Confeſſorum.

S. Jonas Presbyter.

PResbyter fuit hic Jonas, pietate & doctrina inſignis, pater autem Theodori beatiſſimi Confeſſoris, ac Theophanis Canonum ſcriproris: illius, inquam, Theodori, cujus faciem atramento inuſſit, & vulneravit Leo Caballinus Iconomachus, eo quod illum inducere non potuiſſet, ut cultum adorationemque ſanctarum Chriſti, & ejus, quæ ſine ſemine illum genuit, Deiparæ, omniumque ſanctorum ejus Imaginum abnegarer. Hic igitur ſanctus Jonas remiſſo rebus ſeculi nuncio, in lauram ſancti Sabæ ſeſe recepit, & monachus factus eſt: tantoque ſtudio ſeipſum jejuniis, orationibus, perpetuis lacrymis, & fletu exercuit, ut cùm omnes in ſui admirationem pertraxiſſet, multis cupiditatem injiceret imitandi exactam ipſius omnique virtute præditam vitam. Quamobrem donum curationum accepit, quo accedentibus ad ſe profuit. Cùm autem hunc in modum vixiſſet, omnibuſque admirandus apparuiſſet, ad Deum migravit,

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου Ἰωνᾶ τοῦ πατέρος Θεοδώρου, καὶ Θεοφάνους τῶν Ὁμολογητῶν.

ΠΡεσβύτερος ἦν οὗτος ὁ Ἰωνᾶς, εὐλαβὴς καὶ συνετὸς, πατὴρ Θεοδώρου τοῦ μακαριωτάτου Ὁμολογητοῦ, καὶ Θεοφάνους τοῦ ποιητοῦ τῶν κανόνων· Θεοδώρου ἐκείνου, οὗτινος τὸ πρόσωπον διὰ μέλανος ἐπέγραψε, καὶ κατεκέντησε Λέων ὁ Καβαλῖνος, Εἰκονομάχος ὢν, διὰ τὸ μὴ πεῖσαι αὐτὸν ἀρνήσασθαι τὴν προσκύνησιν καὶ τὸ σέβας τῶν ἁγίων εἰκόνων, τοῦτε Χριστοῦ καὶ τῆς ἀσπόρως τεκούσης αὐτὸν Θεοτόκου, καὶ τῶν ἁγίων αὐτοῦ πάντων. Καταλιπὼν οὖν τὸν κόσμον ὁ ῥηθεὶς ὅσιος Ἰωνᾶς, καὶ ἀπελθὼν εἰς τὴν τοῦ ἁγίου Σάβα λαῦραν, ἐγένετο μοναχός. Καὶ τοσαύτην ἄσκησιν ἐπεδείξατο, νηστεύων, προσευχόμενος, ἀεὶ δακρύων, θρηνῶν, ἑαυτὸν δαπανίζων, ὡς ὑπὸ πάντων θαυμάζεσθαι, καὶ πολλοὺς σπουδάζειν μιμεῖσθαι τὸν ἠκριβωμένον καὶ ἐνάρετον βίον αὐτοῦ. Ἐδέξατο δὲ καὶ χαρίσματα ἰαμάτων, δι᾽ ὧν ὠφέλει τοὺς προσερχομένους αὐτῷ. Οὕτω δὲ βιώσας, καὶ θαυμαστὸς τοῖς πᾶσι φανεὶς, πρὸς τὸν Θεὸν ἐξεδήμησεν.



ΜΗΝΙ' ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΚΓ'.

Ἡ σύλληψις τῆς ἁγίας Ἐλισάβετ, ὅτε συνέλαβε τὸν ἅγιον Ἰωάννην τὸν Βαπτιστήν.

Ζαχαρίας ὁ Προφήτης καὶ πατὴρ τοῦ Βαπτιστοῦ Ἰωάννου, ὑπῆρχεν ἱερεὺς τοῦ Θεοῦ. Καὶ εἰσελθὼν ποτὲ ἐν τῷ ναῷ, τοῦ θυμιάσαι, καὶ τῶν Ἰουδαίων ἑστώτων ἔξω, εἶδε Γαβριὴλ τὸν Ἄγγελον τοῦ Θεοῦ ἱστάμενον ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος, καὶ ἐφοβήθη. Καὶ ἰδὼν αὐτὸν ὁ Ἄγγελος, ὅτι ἐταράχθη, εἶπε πρὸς αὐτόν. Μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου. Καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Καὶ ἔσται χαρά σοι, καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ὁ δὲ Ζαχαρίας εἰδώς, ὅτι αὐτὸς μὲν ἐστὶ γέρων, ἡ δὲ γυνὴ αὐτοῦ γραῦς, εἶπε· κύριε, πῶς ἔσται μοι τοῦτο; καὶ ἀπεκρίθη πρὸς αὐτὸν ὁ Ἄγγελος, καὶ εἶπεν· ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ. Καὶ ἀπεστάλην εὐαγγελίσασθαί σοι ταῦτα· καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἕως οὗ γεννηθῇ ὁ υἱός σου. Καὶ διέμεινε κωφὸς καὶ ἄλαλος, ἕως ἐγεννήθη ὁ Ἰωάννης.

Τῇ

EODEM MENSE

Die Vigeſima tertia. 23.

Conceptio Sanctæ Eliſabet, quando concepit ſanctum Joannem Baptiſtam.

ZAcharias Propheta & pater Joannis Baptiſtæ ſacerdos Dei fuit. Ingreſſus autem aliquando templum, ut thus adoleret, ſtantibus extra templum Judæis, cùm vidiſſet Gabrielem Angelum Dei ſtantem à dextris altaris thymiamatis, perterritus eſt. Angelus verò his eum verbis compellavit: Ne timeas, Zacharia: exaudita eſt enim oratio tua, & uxor tua Eliſabet pariet tibi filium, & vocabis nomen ejus Joannem, & erit tibi gaudium & exultatio, & multi in nativitate ejus gaudebunt. Zacharias autem cùm ſe, & uxorem ſuam in ætate proceſſiſſe cerneret: Quomodo, inquit, hoc mihi, domine, fieri poterit? Cui Angelus: Ego ſum Gabriel, qui adſto coram Deo, miſſuſque ſum, ut hæc tibi annunciarem: & ecce, eris mutus, neque prius loqui poteris, quàm natus tibi fuerit filius. Statimque factus eſt ſurdus & mutus, quoad natus eſt Joannes.

Conceptio S. Joannis Baptiſtæ.

Eo-



Eodem die

Certamen Sanctæ Martyris Iraidis.

S. Irais Martyr. IRais Chriſti martyr, Alexandrina, virgo & ſanctimonialis, egreſſa aliquando ex Aſceterio, ut ex fonte aquam præfectæ ſuæ afferret, vidit in navi ſecus litus maris tranſeuntem urbis Præfectum, qui multos ſecum Chriſtianos ducebat catenis conſtrictos, Presbyteros, Diaconos, mulieres ſanctas, & virgines: accurrenſque, & ſciſcitata ex virginibus, quam ob cauſam eſſent in vinculis, iiſque reſpondentibus: Ob Chriſtum, ut pro illo martyrium ſubeuntes, ſalvæ ſimus; impetravit à lictoribus, ut & ſibi unà cum reliquis ſanctis catenas injicerent. Ducti igitur ſancti in urbem Antinoum, multiſque à Præfecto excruciati tormentis, cùm idolis ſacrificare nollent, ſed in fide Chriſti conſtantiſſimè ad mortem uſque perſiſterent, damnati omnes capite ſunt; & prima quidem omnium Irais, deinde reliqua multitudo.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἰραΐδος.

Η Μάρτυς τοῦ Χριστοῦ Ἰραῒς ὑπῆρχεν ἀπὸ τῆς πόλεως Ἀλεξανδρείας, παρθένος οὖσα καὶ μονάζουσα· ἐξελθοῦσα δὲ τοῦ ἀσκητηρίου πρὸς τὸ κομίσαι ὕδωρ ἐκ τῆς πηγῆς τῇ ἡγουμένῃ αὐτῆς, εἶδεν ἐν τῷ πλοίῳ διερχόμενον εἰς τὸν αἰγιαλὸν τῆς θαλάσσης τὸν Ἄρχοντα τῆς πόλεως, ἔχοντα μεθ᾽ ἑαυτοῦ πλῆθος Χριστιανῶν δεσμίων, πρεσβυτέρων, διακόνων, ἁγίων γυναικῶν καὶ παρθένων. Καὶ δραμοῦσα εἶπε πρὸς τὰς παρθένους. Διὰ τί ἐν δεσμοῖς κατέχεσθε· ἐκεῖναι δὲ ἀποκριθεῖσαι, εἶπον· διὰ τὸν Χριστὸν, ὅπως ὑπὲρ αὐτοῦ μαρτυρήσωμεν καὶ σωθῶμεν. Ἀκούσασα δὲ ταῦτα Ἰραῒς, παρεκάλεσε τοὺς δημίους, καὶ συνέδησαν καὶ αὐτὴν, μετὰ τῶν λοιπῶν ἁγίων. Καὶ καταλαβόντες οἱ ἅγιοι τὴν Ἀντινόπολιν, καὶ πολλὰ τιμωρηθέντες ὑπὸ τοῦ Ἄρχοντος· καὶ μὴ πεισθέντες θῦσαι τοῖς εἰδώλοις, ἀλλὰ μέχρι θανάτου φυλάξαντες τὴν εἰς Χριστὸν πίστιν, ἀπεκεφαλίσθησαν ἅπαντες· πρώτη μὲν Ἰραῒς, ἔπειτα δὲ καὶ τὸ λοιπὸν πλῆθος.

Eo- Τῇ



63

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῶν ἁγίων γυναικῶν Ξανθίππης, καὶ Πολυξένης.


Η' Α'γία Ξανθίππη, ἦν μὲν ἐπὶ Κλαυδίου Καίσαρος Ρ'ωμαίων· γυνὴ τυγχάνουσα Πρόβου τοῦ τῆς Ι'σπανίας Α'ρχοντος· εἶχε δὲ ἀδελφὴν παρθένον, Πολυξένην ὄνομα. Α'πελθόντι δὲ τῷ ἁγίῳ Α'ποστόλῳ Παύλῳ εἰς τὴν χώραν Ι'σπανίας, καὶ κηρύττοντι τὸν Χριστὸν, προσῆλθεν αὐτῷ ἡ Ξανθίππη· καὶ κατηχηθεῖσα ὑπ' αὐτοῦ τὴν πίστιν, πρῶτον μὲν ἐβαπτίσθη αὐτὴ· ἔπειτα ἔπεισε καὶ τὸν ἄνδρα αὐτῆς Πρόβον, γενέσθαι Χριστιανόν. Ο'μοίως καὶ ἡ ἀδελφὴ αὐτῆς Πολυξένη ἐδιδάχθη παρὰ τοῦ αὐτοῦ Α'ποστόλου τότε. Μετὰ δὲ τὴν ὑποχώρησιν αὐτοῦ, ἀκούσασα κηρύττειν τὴν πίστιν τῆς ἀληθείας Α'νδρέαν τὸν μέγαν Α'πόστολον ἐν Πάτραις τῆς Α'χαΐας, ἀπῆλθε πρὸς αὐτόν. Καὶ μαθοῦσα τὰ περὶ τοῦ Χριστοῦ τελεώτερον, ἐβαπτίσθη. Καὶ πάλιν ὑποστρέψασα εἰς τὴν ἰδίαν χώραν, εὗρε τὴν αὐτῆς ἀδελφὴν Ξανθίππην πάσαις ἀρεταῖς ἐκλάμπουσαν, καὶ μετὰ χαρᾶς ὑποδεξαμένην αὐτήν. Καὶ ἀμφότεραι πολλοὺς διδάξασαι τὴν τοῦ Χριστοῦ πίστιν, ἐτελειώθησαν.

Eodem die

Commemoratio Sanctarum mulierum Xanthippæ, & Polyxenæ.

SAncta Xanthippa, Claudio Romanorum Cæſare, uxor Probi Hiſpaniæ Præfecti, ſororem virginem nomine Polyxenam habuit. Cùm autem ſanctus Paulus Apoſtolus in regionem Hiſpaniæ veniſſet, Chriſtumque prædicaret, illum adiit Xanthippa, atque ab eo fidem edocta, primum quidem baptizata fuit: deinde viro ſuo Probo perſuaſit, ut Chriſtianus fieret. Similiter & ſoror ejus Polyxena edocta quidem tunc ab eodem Apoſtolo fuit; ſed poſt ejus diſceſſum, cùm audiſſet Andream magnum Apoſtolum Patris in Achaja fidem veritatis prædicare, profecta ad eum eſt, ab eoque, poſtquam perfectius quæ ad Chriſtum pertinent, didiciſſet, baptiſmum ſuſcepit. Mox rediit in regionem ſuam, ubi reperit ſororem ſuam Xanthippam omni virtutum genere fulgentem, à qua eum gaudio excepta eſt. Cùmque ambæ multos Chriſti fidem docuiſſent, finem vivendi fecerunt.

SS. Xanthippa, & Polyxena.



EODEM MENSE — ΜΗΝΙ ΤΩ͂ ΑΥ̓ΤΩ͂

24. Die Vigeſima quarta. — ΚΔ΄.

Certamen Sanctæ Protomartyris Theclæ.

S. Thecla Protomartyr.

THecla Protomartyr ex urbe Iconio, mulieris cujuſdam nobilis ac divitis, Theocliæ nomine, filia, audivit ſanctum Apoſtolum Paulum, cùm Iconium profectus, verba Dei in domo Oneſiphori doceret. Erat autem, cùm credidit, annorum decem & octo. Collocata verò in matrimonium homini opulento Thamyridi, neglecta matre, viro, divitiis, adjunxit ſe Apoſtolo, cum quo Antiochiam Piſidiæ profecta, damnatur ad beſtias ab Alexandro Præſide; ſed nulla in re ab his læſa, traditur tauris, à quibus etiam Dei beneficio liberata, multos ad Dominum convertit, adjuta à Tryphæna ſingulari pietate femina, quæ illam hoſpitio exceperat. Inde in patriam regreſſa, in monte apud Seleuciam habitavit, tranquillam vitam agens, & miraculorum frequentia illuſtris. Cùm autem nefarii quidam homines illuc accedere, eamque violare cogitarent, petra in partes diſciſſa excepit ſanctam annos nonaginta natam.

Ἄθλησις τῆς ἁγίας Πρωτομάρτυρος Θέκλης.

Ἡ Πρωτομάρτυς Θέκλα γέγονεν ἐκ τῆς πόλεως Ἰκονίου· γυναικός τινος θυγάτηρ εὐγενοῦς καὶ πλουσίας, Θεοκλίας ὀνόματι. Ἀπελθόντος δὲ εἰς τὸ Ἰκόνιον τοῦ ἁγίου Ἀποστόλου Παύλου, ἤκουσεν αὐτοῦ διδάσκοντος τὰ λόγια τοῦ Θεοῦ, ἐν τῷ οἴκῳ τοῦ Ὀνησιφόρου· ἦν δὲ ὅτε ἐπίστευσεν ἐτῶν δέκα καὶ ὀκτώ. Ἐξεδόθη δὲ πρὸς γάμον ἀνδρὶ πλουσίῳ, ὀνόματι Θαμύριδι· ἀλλὰ καταφρονήσασα μητέρος, ἀνδρὸς, πλούτου, ἠκολούθησε τῷ Ἀποστόλῳ, καὶ μετ' αὐτοῦ ἀπελθοῦσα εἰς τὴν Ἀντιόχειαν τῆς Πισιδίας, ἐκδίδοται θηρίοις ὑπὸ τοῦ Ἄρχοντος Ἀλεξάνδρου. Καὶ μηδὲν ἀδικηθεῖσα, προσεδέθη ταύροις. Ἀλλὰ καὶ τούτων ῥυσθεῖσα, Θεοῦ χάριτι, πολλοὺς ἐπέστρεψεν ἐπὶ τὸν Κύριον· συνεργὸν ἔχουσα Τρύφαιναν τινα τὸν Θεὸν φοβουμένην, τὴν ὑποδεξαμένην αὐτήν. Ὑποστρέψασα δὲ πάλιν εἰς τὴν ἰδίαν πατρίδα, κατῴκησεν ἐν ὄρει τινὶ ἐγγὺς Σελευκείας· ἡσυχάζουσα καὶ θαυματουργοῦσα. Βουληθέντων δὲ πονηρῶν ἀνθρώπων ἀπελθεῖν, καὶ μιᾶναι αὐτήν, ἐσχίσθη πέτρα, καὶ ὑπεδέξατο, ὑπάρχουσαν ἐτῶν ἐνενήκοντα.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΕ'.

Ἡ ἀνάμνησις τοῦ φόβου τοῦ μεγάλου σεισμοῦ, καὶ τῆς τοῦ παιδὸς ἐν ἀέρι ἁρπαγῆς.

Ἐπὶ τῆς βασιλείας τοῦ μεγάλου Θεοδοσίου σεισμὸς ἐγένετο, οἷος οὐδέποτε γέγονεν. Ἐξ οὗ καὶ πᾶς ὁ λαὸς σὺν τῷ βασιλεῖ καὶ τῷ Πατριάρχῃ ἀφέντες τὴν πόλιν, ἐξῆλθον ἐν τῷ κάμπῳ πλησίον τοῦ Ἑβδόμου, καὶ ἔμενον ἐκεῖ. Διότι ἀκατάπαυστος ἦν ὁ σεισμός. Λιτανευόντων δὲ ἀπὸ τοῦ ἑβδόμου εἰς τὸν κάμπον πρὸς τὸ τριβουνάλιον, καὶ προστιθεμένου εἰς τὸ Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· τοῦ, ὁ σταυρωθεὶς δι' ἡμᾶς, ὅπερ ἦν τῆς τῶν θεοπασχιτῶν αἱρέσεως βλασφημούντων, ὅτι καὶ ἡ θεότης ἔπαθεν ἐν τῷ σταυρῷ· ἐξαίφνης παιδίον ἐκ μέσου τοῦ πλόθους ἁρπαγὲν, εἰς τὸν ἀέρα ἀνεφέρετο. Πάντων δὲ μετὰ φόβου κραζόντων τὸ Κύριε ἐλέησον, κατέβη τὸ παιδίον, ὡς ὑπὸ νεφέλης ἡσυχῶς, καὶ παρεκελεύσατο τῷ λαῷ σιωπῆσαι· καὶ εἶπεν· ὅτι οἱ τῶν Ἀγγέλων χοροὶ χωρὶς τῆς προσθήκης τοῦ· ὁ σταυρωθεὶς δι' ἡμᾶς· ψάλλουσι τὸν τρισάγιον ὕμνον. Τοῦτο δὲ εἰπόντος τοῦ παιδίου, καὶ παραχρῆμα τελευτήσαντος, ἐπαύσατο σὺν τῇ αἱρέσει καὶ ὁ σεισμός. Καὶ ἐθαύμασαν ἅπαντες, δοξάζοντες τὸν Θεόν.


EODEM MENSE

Die Vigeſima quinta. 25.

Commemoratio magni, ac terribilis terræmotus, quando puer in aërem raptus eſt.

Theodoſio magno imperante terræmotus contigit, qualis numquam mortalium memoria exſtitit. Quare populus univerſus cum Imperatore & Patriarcha, relicta urbe, exiit in campum juxta Hebdomum, ibique commorabatur, eò quod terræmotus numquam ceſſaret. Dum autem ſupplicationes ab Hebdomo in campum ad Tribunalium fierent, atque illis verbis, *Sanctus Deus, Sanctus Fortis, Sanctus Immortalis*, hæc adderentur, *Qui crucifixus es pro nobis*, quæ ex hæreſi Theopaſchitarum erant, blaſphemantium atque affirmantium divinitatem etiam in cruce paſſam fuiſſe; arreptus de media turba repente puer, per aërem ferebatur. Cùmque omnes perterriti conclamarent, *Kyrie eleiſon*, puer tamquam nube delatus, quietè deſcendit; indictoque ſilentio, ad populum ait: Angelorum chori ter ſanctum hymnum ſine illa appendicula, *Qui crucifixus es pro nobis*, concinunt. Hæc cùm puer dixiſſet, ſtatim mortuus concidit, ſimulque cum hæreſi finem habuit terræmotus. Interim omnes obſtupuerunt, Deoque gloriam tribuerunt.

Commemoratio Terræmotus.



Eodem die

Certamen Sancti Martyris Paphnutii.

S. Paphnutius Mart. & ſocii.

IMpii Diocletiani Imperatoris crudelitas plurimos Chriſtianorum non ſolum ex laicis, ſed ex monachis effecit Martyres: ex quorum numero fuit ſanctus Paphnutius, qui ex Ægypto oriundus, abdicato ſeculo, maximam vitæ partem in eremis tranſegit. Sed cùm plurimos Græcorum ad Chriſtum converteret, à Præfecto ad necem quærebatur. Multis ergo ejus cauſa comprehenſis, juſſus ab Angelo, Præfecto ſe ultrò obtulit, in cujus conſpectu Chriſtum profeſſus, catenis ferreis conſtringitur: tùm in equuleum actus, eo uſque depectitur, donec illius viſcera in terram profluerent. Verùm cùm rurſus, illis ab Angelo compoſitè in locum ſuum reſtitutis, ſanus effectus, multos ad Chriſti fidem traxiſſet, mittitur à Præfecto unà cum iis, qui crediderant, ad Diocletianum Imperatorem, à quo palmæ affixus, deceſſit: atque uno eodemque die quingenti quadraginta ſeptem martyres decollati fuere.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ὁσιομάρτυρος Παφνουτίου.

Ἡ τοῦ δυσσεβοῦς βασιλέως Διοκλητιανοῦ ὠμότης πολλοὺς τῶν Χριστιανῶν ἀπέδειξε μάρτυρας, οὐ μόνον ἐκ τῶν λαικῶν, ἀλλὰ καὶ ἐκ τῶν μοναχῶν· ὧν εἷς ἦν καὶ ὁ ὅσιος Παφνούτιος. Οὗτος γὰρ ἐξ Αἰγύπτου καταγόμενος, καταλιπὼν τὸν κόσμον, τὸ πλεῖστον τῆς ζωῆς αὐτοῦ χρόνον διέτριβεν ἐν ἐρήμοις. Διὰ δὲ τὸ πολλοὺς τῶν ἑλλήνων ἐπιστρέφειν πρὸς τὸν Χριστὸν, ἐζητεῖτο φονευθῆναι παρὰ τοῦ Ἄρχοντος. Καὶ πολλῶν κρατουμένων δι' αὐτὸν, ὑπὸ θείου Ἀγγέλου κελευσθεὶς, ἀπελθὼν παρέστη τῷ Ἄρχοντι· καὶ τὸν Χριστὸν ὁμολογήσας, δεσμεῖται σιδήροις. Καὶ ἐπὶ ξύλου κρεμασθεὶς, ἐξέσθη, ἕως τὰ ἔντερα αὐτοῦ ἔπεσον ἐπὶ τὴν γῆν. Ἀλλὰ πάλιν γέγονεν ὑγιὴς, Ἀγγέλου ταῦτα προσαρμόσαντος τῷ σώματι· ἐκ τούτου πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ. Καὶ ἰδὼν ὁ Ἄρχων, πέμπει αὐτὸν σὺν τοῖς πιστεύσασι πρὸς τὸν βασιλέα Διοκλητιανόν. Καὶ παρ' ἐκείνου ἐπὶ φοίνικος σταυρωθεὶς, ἐτελειώθη. Κατ' αὐτὴν δὲ τὴν ἡμέραν ἀπεκεφαλίσθησαν πεντακόσιοι ΜΖ΄. Μάρτυρες.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῆς ὁσίας Εὐφροσύνης, τῆς μετονομασθείσης Σμαράγδου.


Πολλαί εἰσι τῆς σωτηρίας ὁδοί. Καὶ γὰρ ἡ ὁσία Εὐφροσύνη θυγάτηρ οὖσα πλουσίου τινός, καὶ πρὸς γάμον μέλλουσα ἐκδοθῆναι, γνοῦσα τοῦτο, καὶ τοῦ Χριστοῦ νύμφη θέλουσα εἶναι, προσέδραμεν ἑνὶ τῶν ἁγίων γερόντων, καὶ παρ' ἐκείνου ἐγένετο μοναχή. Εἶτα φοβηθεῖσα, ἵνα μὴ γνωρισθῇ ὑπὸ τοῦ πατρὸς αὐτῆς, ἐνδυσαμένη ἀνδρεῖα ἱμάτια, καὶ μετασχηματισθεῖσα εἰς ἄνδρα, καὶ μετονομάσασα ἑαυτὴν Σμάραγδον, ἀπῆλθεν εἰς ἀνδρεῖον μοναστήριον, εἰς ὃ καὶ πρότερον κατὰ συνήθειαν ἀπήρχετο ὁ πατὴρ αὐτῆς. Καὶ μετὰ τοῦτο πάλιν ἀπερχόμενος, καὶ τῷ ἡγουμένῳ διηγούμενος τὴν φυγὴν τῆς θυγατέρος, ἔβλεπε πολλάκις καὶ αὐτὴν παρισταμένην τῷ ἡγουμένῳ ἐν σχήματι ἀνδρός, καὶ λυπουμένην δῆθεν διὰ τὴν θυγατέρα αὐτοῦ· ἀλλ' οὐκ ἐγνώριζεν αὐτήν. Διανύσασα δὲ ἐν τῷ μοναστηρίῳ ἔτη δέκα καὶ ὀκτώ, ἠσθένησε· καὶ προσκαλεσαμένη τὸν πατέρα αὐτῆς, εἶπεν· ἐγώ εἰμι θυγάτηρ σου· καὶ μὴ λυποῦ· καὶ τοῦτο εἰποῦσα, ἐκοιμήθη.

Eodem die

Commemoratio Sanctæ Euphroſynæ, quæ Smaragdus appellata fuit.

Multæ ſunt ſalutis viæ. Etenim Euphroſyna opulenti hominis filia, cùm ſibi nuptias parari reſciviſſet, ipſaque Chriſti ſponſa eſſe in animum induxiſſet, confugit ad quemdam ſanctum ſenem, à quo ſanctimonialis facta eſt. Cùmque timeret, ne à patre cognoſceretur, ſumpto virili habitu, mutatoque nomine, ſeipſam Smaragdum appellavit, atque in virorum monaſterium ſe ſe contulit, quod & pater ejus frequens adire conſueverat: poſtea verò illuc adveniens, cum monaſterii præfecto de fuga filiæ ſuæ ſæpè colloquebatur, inſpectante & audiente plerumque filia, doloremque eadem de cauſa præſeferente, cùm interim à patre numquam cognoſceretur. Cùm autem in monaſterio annos decem & octo vixiſſet, incidit in morbum. Et accerſito patre dixit: Ego ſum filia tua, ne contriſteris: ſtatimque obdormivit.

S. Euphroſyna, quæ & Smaragdus.



EODEM MENSE

26\. Die Vigeſima ſexta.

Translatio Sancti Joannis Theologi, & Evangeliſtæ.

Translatio S. Joannis Evangeliſtæ.

MAgnus Apoſtolus & Evangeliſta Joannes poſt Domini aſcenſionem, & Deiparæ obitum, venit Epheſum, Chriſtum evangelizans; delatuſque ad Domitianum Romanorum Imperatorem, relegatur in inſulam Patmos, ubi ſanctum Evangelium conſcripſit. Functo autem vita Domitiano, revocatus ab exilio, rediit Epheſum: ubi eùm multos docuiſſet, perque baptiſmum ad Chriſtum adduxiſſet, translationem ſuam prænovit. Dominico igitur die cùm fratres magna Dei opera docuiſſet, eiſque, ut quæ edocti à ſe fuerant, obſervarent, præcepiſſet, imperavit diſcipulo, ut aſſumptis hominibus, & quæ ad fodiendum opus eſſent, paratis inſtrumentis, ſe conſequeretur: abiitque in quendam locum, juſſitque egeſta alte terra foſſam in crucis figuram effodere. Mox oravit, & dixit: Pax vobis fratres: & in fovea ſeſe compoſuit: quo operto diſcipuli diſceſſere. Verùm paulò poſt regreſſi, viſendi eum ſtudio, nequaquam invenerunt.

EO-

ΜΗΝΙ' ΤΩ͂Ι ΑΥΤΩ͂Ι

Κϛ'.

Ἡ μετάστασις τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, καὶ Εὐαγγελιστοῦ.

Ὁ Μέγας Ἀπόστολος καὶ Εὐαγγελιστὴς Ἰωάννης μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου, καὶ τὴν κοίμησιν τῆς Θεοτόκου, ἦλθεν εἰς Ἔφεσον, εὐαγγελιζόμενος τὸν Χριστόν. Καὶ διαβληθεὶς Δομετιανῷ τῷ Ῥωμαίων βασιλεῖ, ἐξωρίσθη εἰς Πάτμον τὴν νῆσον. Ἔνθα καὶ τὸ ἅγιον ἔγραψεν εὐαγγέλιον. Μετὰ δὲ τελευτὴν Δομετιανοῦ, ἀνακληθεὶς πάλιν, ἦλθεν εἰς Ἔφεσον. Καὶ μετὰ τὸ πολλοὺς διδάξαι, καὶ διὰ τοῦ βαπτίσματος προσαγαγεῖν τῷ Χριστῷ, προέγνω τὴν μετάστασιν αὐτοῦ. Καὶ κυριακῆς ἡμέρας ἐλθούσης, διδάξας τοὺς ἀδελφοὺς τὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ παραγγείλας αὐτοῖς φυλάττειν πάντα τὰ διδαχθέντα ὑπ' αὐτοῦ, προσέταξε τῷ μαθητῇ αὐτοῦ παραλαβεῖν ἄνδρας κατέχοντας τὰς πρὸς ὄρυγμα χρείας, καὶ ἀκολουθεῖν. Καὶ ἐλθὼν ἐπὶ τὸν τόπον, ἐπέτρεψεν ὀρύξαι ὄρυγμα βαθὺ σταυροειδές. Καὶ προσευξάμενος καὶ εἰπών· εἰρήνη ὑμῖν ἀδελφοί, ἀνεκλίθη ἐν τῷ ὀρύγματι. Τότε καλύψαντες αὐτὸν οἱ μαθηταὶ, ἀνεχώρησαν. Καὶ μετὰ τοῦτο ἐλθόντες ἰδεῖν αὐτὸν, οὐχ εὗρον.

ΜΗΝΙ'



ΜΗΝΙ' ΤΩ͂ Α'ΥΤΩ͂

ΚΖ'.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἐπιχάρεως.

Ἐπίχαρις ἡ τοῦ Χριστοῦ Μάρτυς, ὑπῆρχεν ἐν τῇ Ῥώμῃ ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως· ἐκρατήθη δὲ παρὰ Καισαρίου τοῦ ἐπάρχου. Καὶ ὁμολογήσασα παρρησίᾳ τὸν Χριστὸν, κρεμᾶται, καὶ ξέεται. Εἶτα τύπτεται μετὰ σφυρῶν μολυβδίνων ὑπὸ τεσσάρων στρατιωτῶν· οἵτινες, εὐχομένης αὐτῆς, ὑπὸ Ἀγγέλων ἀνῃρέθησαν. Εἶτα συνεβούλευσε τῷ Ἄρχοντι ὁ συγκάθεδρος αὐτοῦ ἀποκεφαλίσαι αὐτήν. Λαβούσης δὲ τὴν διὰ ξίφους ἀπόφασιν, καὶ προσευχομένης αὐτῆς, ἡ εὑρεθεῖσα ὑποκάτω τῶν ποδῶν αὐτῆς πέτρα, ὕδατος ἀνέβλυσε πλῆθος. Πληρώσασα δὲ τὴν εὐχὴν, καὶ κλίνασα τὸν αὐχένα, ἐπλήγη ὑπὸ τοῦ δημίου, καὶ τὸ μὲν πνεῦμα αὐτῆς ἐναπετέθη εἰς χεῖρας Θεοῦ ζῶντος. Δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ. Τὸ δὲ τίμιον λείψανον αὐτῆς ἐτάφη ἐντίμως παρὰ Φήλικος τινὸς συγκλητικοῦ, εὐλαβοῦς Χριστιανοῦ· βρύον ἰάματα πᾶσι τοῖς πιστῶς προσερχομένοις αὐτῷ, πᾶσαν νόσον, καὶ πᾶσαν συμφορὰν καὶ λύπην, ἑτοίμως ἀποδιώκον ἕως τῆς σήμερον.

EODEM MENSE

Die Vigeſima ſeptima. 27.

Certamen Sanctæ Martyris Epicharus.

S. Epicharis Martyr.

Epicharis Chriſti martyr, Diocletiano Imperatore, Romæ claruit. Comprehenſa autem à Cæſario Præfecto, confeſſaque liberè Chriſtum, ſublata in equuleum, excarnificatur: deinde malleis plumbeis percutitur à quatuor militibus, qui, ea preces fundente, ab Angelis interfecti ſunt. Conſuluit itaque Præfecto Aſſeſſor, ut in illam ferret capitalem ſententiam. Quod cùm feciſſet Præfectus, cœpit orare Epicharis: ſtatimque petra, quæ ſubter illius pedes jacebat, magnam effudit aquarum vim. Cùmque preces compleviſſet, inclinata cervice, à lictore percuſſa fuit, ejuſque ſpiritus in Dei vivi manus advolavit: juſtorum enim animæ in manu Dei ſunt: pretioſæ autem ejus reliquiæ honorificè à Felice quodam Senatorio viro pioque Chriſtiano ſepultæ, curationes emittunt omnibus cum fide ad eas accedentibus, omnemque morbum, calamitatem & ægritudinem ad hanc uſque diem ſtatim depellunt.



Eodem die

Certamen Sancti Martyris Calliſtrati, & centum octoginta quatuor ſociorum.

S. Calliſtratus, & ſocii MM.

CAlliſtratus pluribus inſignis certaminibus martyr, Romæ floruit Diocletiano imperante, vir ſapiens, & Chriſtum colens. Comprehenſus autem à copiarum Præfecto, cùm ad abnegandum Chriſtum adduci nulla ratione poſſet, acerrimè cæditur: & funibus conſtrictus, ſuper teſtulis acutiſſimis rapratur. Tùm ſacco incluſus, in mare projicitur. Sed diſciſſo ſacco, è mari incolumis emerſit. Quo miraculo commoti milites quadraginta novem, in Chriſtum crediderunt. Quamobrem cæſi à copiarum Præfecto, in vincula unà cum ſancto Calliſtrato conjiciuntur, à quo interrogantes edocentur, quæ ad judicium, remunerationem, reſurrectionem, & animam ſpectant. Poſtea è carcere unà cum militibus eductus, fuſa ad Deum oratione, idola deturbavit: quo prodigio alii milites centum triginta quinque crediderunt in Chriſtum: atque ita omnes capite plexi ſunt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῆς συνοδίας αὐτοῦ, τὸν ἀριθμὸν ΡΠΔ΄.

ΚΑλλίστρατος ὁ πολύαθλος Μάρτυς, ἦν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, ἐν τῇ πόλει Ῥώμῃ· ἀνὴρ σοφὸς, καὶ τὸν Χριστὸν σεβόμενος. Κρατηθεὶς δὲ παρὰ τοῦ στρατηλάτου, καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πεισθεὶς, ἐτύφθη ἰσχυρῶς. Καὶ δεθεὶς σχοινίοις, σύρεται ἐπὶ ὀστράκων ὀξέων. Εἶτα ἐμβληθεὶς εἰς σάκκον, ἐρρίφη εἰς τὴν θάλασσαν, καὶ σχισθέντος τοῦ σάκκου, ἐξῆλθε τῆς θαλάσσης ἀβλαβής. Καὶ ἰδόντες τὸ θαῦμα στρατιῶται τεσσαράκοντα ἐννέα, ἐπίστευσαν τῷ Χριστῷ· καὶ τυφθέντες παρὰ τοῦ στρατηλάτου, ἀπεκλείσθησαν ἐν τῇ φυλακῇ, μετὰ τοῦ ἁγίου Καλλιστράτου, ἐρωτῶντες αὐτὸν καὶ διδασκόμενοι ὑπ᾽ αὐτοῦ, περὶ κρίσεως, περὶ ἀνταποδόσεως, περὶ ἀναστάσεως, καὶ περὶ ψυχῆς. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς, μετὰ τῶν στρατιωτῶν, καὶ προσευξάμενος, ἔρριψε τὰ εἴδωλα. Καὶ ἰδόντες ἕτεροι στρατιῶται ἑκατὸν τριακονταπέντε τὸ γενόμενον, ἐπίστευσαν καὶ αὐτοὶ τῷ Χριστῷ. Καὶ οὕτως ἀπεκεφαλίσθησαν ἅπαντες.



ΜΗΝΙ ΤΩ͂ ΑΥ̓ΤΩ͂

ΚΗ'.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Χαρίτωνος ὁμολογητοῦ γενομένου, καὶ καθηγητοῦ τῆς ἐρήμου.

Χαρίτων ὁ ὅσιος πατὴρ ἡμῶν, καὶ ὁμολογητὴς τοῦ Χριστοῦ, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Αὐρηλιανοῦ, ἐκ τῆς πόλεως Ἰκονίου. Κρατηθεὶς δὲ παρὰ τοῦ Ἄρχοντος, καὶ τὸν Χριστὸν ὁμολογήσας, ἐτύφθη σφοδρῶς. Καὶ τεθεὶς ἐπὶ πυρὸς κατεφλέχθη. Εἶτα ἐνεβλήθη εἰς φυλακὴν. Τοῦ δὲ βασιλέως Αὐρηλιανοῦ τελευτήσαντος, καὶ τοῦ διωγμοῦ παυθέντος, ἀπολυθεὶς ἀπήρχετο πρὸς τὰ Ἱεροσόλυμα. Ἐν δὲ τῇ ὁδῷ κρατηθεὶς ὑπὸ λῃστῶν, ἀπήχθη δεδεμένος εἰς τὸ σπήλαιον. Κατὰ συγκυρίαν δὲ, ὄφις εἰσελθὼν εἰς οἰνηρὸν ἀγγεῖον τῶν λῃστῶν, ἤμεσε τὸν ἰόν. Καὶ πιόντες οἱ λῃσταὶ τὸν οἶνον, ἀπέθανον. Τότε διέδωκε τοῖς πτωχοῖς ὁ ὅσιος Χαρίτων τὰ ἐξ ἁρπαγῆς καὶ φόνων συναχθέντα τοῖς λῃσταῖς πράγματα, καὶ ἀπῆλθεν εἰς ἕτερον τῆς ἐρήμου σπήλαιον· καὶ κατῴκησεν ἐκεῖ. Ἐν ᾧ πολλὰ ἀγωνισάμενος, πλείστων ἠξιώθη θαυμάτων· καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ, καὶ διδασκαλίαν, πολλοὺς τῷ Θεῷ προσαγαγὼν, ἀνεπαύσατο.

EODEM MENSE

Die Vigeſima octava. 28.

Commemoratio Sancti Patris noſtri Charitonis Confeſſoris, & magiſtri eremi.

Sanctus Pater noſter Chriſtique Confeſſor Chariton, Aureliano Imperatore, ex urbe Iconio fuit. Comprehenſus autem à Præfecto, Chriſtumque confeſſus, acerrimè cæditur; atque in ignem injectus, amburitur. Deinde in carcerem detruditur. Mortuo autem Aureliano Imperatore, & ceſſante perſecutione dimiſſus, Hieroſolyma ſe contulit. Sed in itinere à latronibus correptus, in ſpecum vinctus abducitur. Forte autem ſerpens dolium vini, quo latrones utebantur, ingreſſus, vinum infecit veneno, quo epoto latrones mortui ſunt. Tùm verò ſanctus Chariton diſtributis in egenos omnibus, quæ ex rapto, & cædibus latrones congeſſerant, in alteram eremi ſpeluncam abiit, ibique habitavit: cùmque multa certamina ſubjiſſet, dignus fuit, qui plurima miracula ederet. Demùm cùm multos virtute & doctrina ad Deum traxiſſet, requievit.

S. Chariton Confeſſ.



Eodem die

Certamen Sanctorum Martyrum Alphæi, Alexandri, Marci, & ſociorum.

SS. Alphæus Alexander, Marcus, & ſocii MM.

Diocletiano Imperatore Marcus martyr paſcebat oves in monte quodam apud Antiochiam Piſidiæ: tanto autem ſtudio virtutes excoluit, ut & feræ imperio ejus ſubjicerentur. Nam cùm venatores quidam urſam inſequerentur, illa ad ſanctum virum confugiens, ejus pedes lingebat; quod intuiti venatores, rem omnem Præſidi Antiochiæ aperiunt, qui miſſis triginta militibus jubet comprehendi ſanctum. At illi in itinere ab eo edocti, ad Chriſti fidem convertuntur. Quod ubi reſcivit Præſes, adductos Nicæam, mandat decollari; cùm verò ſanctum Marcum per diverſas urbes traxiſſet, quæſivit fabros ærarios, qui inſtrumenta ad torquendum cuderent. Id opus cum Alphæus, Alexander, & Zoſimus aggreſſi, ferrum nulla ratione igni emolliri & ſubigi experti ſæpius eſſent, in Chriſtum credidere, damnatique capitis ſunt unà cum ſancto Marco: quibus adjuncti Nicon, Neon, & Heliodorus, qui fidem Chriſti ſuſceperant, jugulati fuere.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἀλφειοῦ, Ἀλεξάνδρου, Μάρκου, καὶ τῆς συνοδίας αὐτῶν.

ΕΠΙ' τῆς βασιλείας Διοκλητιανοῦ, Μάρκος ὁ Μάρτυς ἦν ποιμαίνων πρόβατα ἐν ὄρει τινὶ πλησίον Ἀντιοχείας τῆς Πισιδίας· τοσοῦτον δὲ ἠγωνίσατο εἰς ἀρετὴν, ὡς καὶ τὰ θηρία ὑποτάττειν· κυνηγοὶ γάρ τινες διώκοντες ἄρκτον, εἶδον αὐτὴν προσφυγοῦσαν τῷ ἁγίῳ, καὶ λείχουσαν τοὺς πόδας αὐτοῦ, καὶ κατελθόντες ἀνήγγειλαν περὶ αὐτοῦ τῷ Ἄρχοντι Ἀντιοχείας. Ὁ δὲ ἀποστείλας τριάκοντα στρατιώτας, ἐκράτησε τὸν ἅγιον· οἵτινες διδαχθέντες παρ' αὐτοῦ κατὰ τὴν ὁδὸν, ἐπίστευσαν τῷ Χριστῷ. Καὶ γνοὺς τοῦτο ὁ Ἄρχων, προσέταξεν ἀπαχθέντας εἰς Νίκαιαν ἀποκεφαλισθῆναι. Τὸν δὲ ἅγιον Μάρκον σύρων ἀπὸ πόλεως εἰς πόλιν, ἐζήτησε χαλκεῖς ποιῆσαι βασανιστήρια. Καὶ εὑρεθέντες Ἀλφειὸς, Ἀλέξανδρος, καὶ Ζώσιμος, καὶ πειρασθέντες χαλκεῦσαι, εὗρον τὸν σίδηρον πυρὶ μὴ μαλασσόμενον· καὶ ἐπίστευσαν καὶ αὐτοὶ τῷ Χριστῷ· καὶ ἀπεκεφαλίσθησαν μετὰ τοῦ ἁγίου Μάρκου· καὶ σὺν αὐτοῖς Νίκων, Νέων, Ἡλιόδωρος πιστεύσαντες, ἀπεσφάγησαν.

Digitized by Google



ΜΗΝΙ' ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΚΘ'.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ.

Ὅσιος πατὴρ ἡμῶν Κυριακὸς ὁ ἀναχωρητής, ὑπῆρχεν ἀπὸ τῆς πόλεως Κορίνθου ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου, υἱὸς Ἰωάννου πρεσβυτέρου τῆς ἐκκλησίας Κορίνθου, τὸν βαθμὸν Ἀναγνωστής. Ἀλλὰ τὸν Χριστὸν πλέον πάντων ἀγαπῶν, καὶ θέλων σωθῆναι, ἀφῆκε τὸν κόσμον, καὶ ἠκολούθησεν αὐτῷ. Δέκα γὰρ καὶ ὀκτὼ ἐτῶν γενόμενος, ἀπῆλθεν εἰς τὰ Ἱεροσόλυμα, καὶ εὐξάμενος εἰς τοὺς ἁγίους τόπους, κατήντησεν εἰς τὴν λαῦραν τοῦ ἁγίου Εὐθυμίου. Καὶ ὑπ' ἐκείνου περιεβάλετο τὸ ἱερὸν τῶν μοναχῶν σχῆμα. Τοσοῦτον δὲ γέγονεν εὐφυής, ὡς καὶ τοὺς τὰ Ὠριγένους φρονοῦντας ἐλέγχειν καὶ πείθειν εὐκόλως. Πολλὴν δὲ ἐπιδειξάμενος ἄσκησιν καὶ σκληραγωγίαν, καὶ προορατικοῦ χαρίσματος ἀξιωθείς, ὡς καὶ τοὺς κρυφίους τῶν ἀνθρώπων λογισμοὺς γινώσκειν, καὶ πράως καὶ ἡμέρως ἀναμιμνήσκειν αὐτούς, καὶ τῇ διορθώσει ὠφελεῖν, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον, ὃν ἐκ βρέφους ἐπόθησεν, ἐξεδήμησε χαίρων καὶ ἀγαλλόμενος.

ΜΗΝΙ'

EODEM MENSE

Die Vigeſima nona. 29.

Commemoratio Sancti Patris noſtri Cyriaci Anachoretæ.

SAnctus Pater noſter Cyriacus Anachoreta ex urbe Corintbo fuit, Theodoſio Magno Imperarore, filius Joannis Presbyteri eccleſiæ Corinthi. Hic cùm gradu Lector eſſet, amore Chriſti præ omnibus incenſus, & ſaluti ſuæ conſulere volens, mundum reliquit, eumque ſecutus eſt. Annos enim natus duodeviginti, Hieroſolyma petiit; ubi cùm ad ſancta loca oraſſet, in lauram ſancti Euthymii ſe contulit, à quo ſacrum monachorum habitum ſuſcipiens, tàm acuto ingenio claruit, ut eos, qui cum Origene ſentirent, redargueret, & facilè convinceret. Cùm verò multa ſe exercitatione & vitæ auſterirate excoluiſſet, ac ſpiritu prophetico ita à Deo afflatus eſſet, ut vel occultis hominum cogitationibus perſpectis, ſumma eos manſuetudine & comitate admoneret, ac emendaret; in profunda ſenectute ad Dominum, cujus amore ab infantia flagrarat, lætus & gaudens migravit.

S. Cyriacus Anachoreta.

K 2 EO-



EODEM MENSE

30. Die Trigeſima.

Commemoratio ſacroſancti Martyris Gregorii Epiſcopi magnæ Armeniæ.

S. Gregorius Armeniæ Epiſcopus.

GRegorius ſacromartyr ac multiplici certamine illuſtris, Diocletiano Imperatore floruit, Parthus genere, propinquus Armeniæ regis. Cùm autem Chriſtianus eſſet, comprehenſus à Tiridate, qui & ipſe Armeniæ rex erat, multis excruciatur tormentis: præſertim cùm eum cognoviſſet eſſe illius filium, qui patrem ſuum dolo interfecerat. Quamobrem eum manibus pedibuſque conſtrictum, in profundum lacum feris & ſerpentibus plenum dejecit, in quo annns quindecim manſit, Chriſtiana quadam vidua furtim ei alimenta ſubminiſtrante. Verùm divina factum eſt providentia, ut Tiridate inſania correpto, ſuaſque carnes eſitante, & unà cum poreis in montibus paſcente, ſoror ejus per viſionem adınnnita fuerit, niſi Gregorius è lacu dimitteretur, Tiridatem numquam ſanatum iri. Igitur eductus è lacu Gregorius, Tiridatem cum omnibus ejus ditioni ſubjectis baptizavit; & Epiſcopus factus, multiſque eccleſiis Chriſti Sanctorumque nomini erectis, vitam finivit.

Eo-


ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

Λʹ.

Μνήμη τοῦ ἁγίου Ἱερομάρτυρος Γρηγορίου Ἐπισκόπου τῆς μεγάλης Ἀρμενίας.

Ὁ Ἱερομάρτυς, καὶ πολύαθλος Γρηγόριος, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ, Πάρθος τὸ γένος, συγγενὴς τοῦ τῆς Ἀρμενίας βασιλέως. Χριστιανὸς δὲ ὤν, κρατηθεὶς παρὰ Τηριδάτου, καὶ αὐτοῦ βασιλέως Ἀρμενίας, πολλὰς ὑπέμεινε τιμωρίας, μάλιστα μαθόντος, ὅτι υἱός ἐστι τοῦ τὸν πατέρα αὐτοῦ δολοφονεύσαντος. Διὰ τοῦτο δεσμεῖ αὐτοῦ χεῖρας, καὶ πόδας· καὶ εἰς λάκκον βαθὺν ἐνέβαλεν πεπληρωμένον θηρίων καὶ ἑρπετῶν· ἐν ᾧ διέτριψεν ἔτη δεκαπέντε, τρεφόμενος κρύφα παρὰ χήρας τινὸς Χριστιανῆς. Κατ' οἰκονομίαν δὲ Θεοῦ, τοῦ Τηριδάτου παραφρονήσαντος, καὶ τὰς σάρκας αὐτοῦ κατατρώγοντος, καὶ μετὰ τῶν χοίρων ἐν τοῖς ὄρεσι βοσκομένου, εἶδεν ὀπτασίαν ἡ ἀδελφὴ αὐτοῦ, μηνύουσαν αὐτῇ, ὅτι εἰ μὴ ἐξέλθοι Γρηγόριος τοῦ λάκκου, Τηριδάτης οὐχ ὑγιαίνει. Ἐξελθὼν οὖν, ἐβάπτισε τὸν Τηριδάτην, καὶ πάντας τοὺς ὑπ' αὐτόν. Καὶ γενόμενος Ἐπίσκοπος, καὶ πολλὰς ἐκκλησίας συστησάμενος ἐπ' ὀνόματι Χριστοῦ, καὶ τῶν ἁγίων, ἐτελειώθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Ῥιψιμίας, Γαϊανῆς, καὶ τῆς συνοδίας αὐτῶν.

Ἡ Μάρτυς Ῥιψιμία σὺν τῇ Γαϊανῇ, ὑπῆρχον παρθένοι καὶ μονάζουσαι ἐν τῇ χώρᾳ Ἀρμενίας. Καὶ ἡ μὲν Γαϊανὴ ἦν γραῦς. Ἡ δὲ Ῥιψιμία νέα, εὐγενὴς καὶ εὔμορφος. Μαθὼν δὲ περὶ τοῦ κάλλους αὐτῆς ὁ Τηριδάτης, ἐγένετο ἐν ἐπιθυμίᾳ αὐτῆς· καὶ ἀποστείλας, καὶ κρατήσας αὐτὴν, ἐβιάζετο πρὸς ἀθέμιτον μίξιν. Μὴ περιγενόμενος δὲ αὐτῆς, τῇ τοῦ Χριστοῦ δυνάμει, λυπηθεὶς ἔκειτο, ὡσεὶ νεκρός. Ἐκφυγοῦσαν δὲ τὴν ἁγίαν ἐπιδιώξαντες οἱ στρατιῶται, καὶ φθάσαντες, ἠνάγκασαν ἀρνήσασθαι τὸν Χριστόν. Καὶ μὴ πεισθείσης, διέρρηξαν αὐτῆς τὰ ἱμάτια. Καὶ τὰς χεῖρας ὀπίσω δήσαντες, τὴν γλῶσσαν ἀπέτεμον, καὶ τοὺς ὀφθαλμοὺς ἐξώρυξαν, καὶ

τὸ

Eodem die


Certamen Sanctarum Martyrum Ripſimiæ, Gajanæ, & ſociorum.

Ripſimia martyr, & Gajana, in regione Armeniæ virgines & ſanctimoniales fuerunt: & Gajana quidem anus; Ripſimia verò adoleſcentula, generis nobilitate, & eximia corporis ſpecie clara. Quamobrem Tiridates cognita illius pulchritudine, impotenti captus amore, comprehenſam ad nefandum adigebat amplexum. Sed factus, Chriſti virtute, voti ſui impos, mœrore jacuit, tamquam mortuus. Sanctam autem fugientem aſſecuti milites, Chriſtum abjurare impellunt. Quod cùm illa facere detrectaret, diſciſſis ejus veſtibus, ligatiſque poſt tergum manibus, linguam ei præcidunt, oculos effodiunt, & corpus in ignem injiciunt. Paulò poſt gladio cæſa, reddidit animam: & cum ea ſeptuaginta viri Chriſtiani, & triginta duæ feminæ interempti ſunt. At ſancta Gajana, detracta prius SS. Ripſimia, Gajana, & ſocii Martyres.

è cor-

è corpore toto pelle, contuſiſque ſaxo oſſibus, capite damnatur.

τὸ σῶμα αὐτῆς εἰς πῦρ ἐνέβαλον· εἶτα κατὰ μικρὸν τοῖς ξίφεσι κοπτομένη παρέδωκε τὴν ψυχήν. Καὶ σὺν αὐτῇ ἀπέθανον ἄνδρες Χριστιανοὶ ἑβδομήκοντα, καὶ γυναῖκες τριακονταδύο. Ἡ δὲ ἁγία Γαϊανὴ τὸ δέρμα τοῦ σώματος ὅλου ἐκδαρεῖσα, καὶ λίθοις τὰ ὀστᾶ συντριβεῖσα, οὕτως ἀπετμήθη τὴν κεφαλήν.



MENOLOGII GRÆCORUM
MENSIS OCTOBER.

ΜΗΝΙ' ὈΚΤΩΒΡΙ'Ω

Ἐν τῇ Πρώτῃ.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος, καὶ Ἀποστόλου Ἀνανίου, Ἐπισκόπου Δαμασκοῦ.

Ἀνανίας ὁ τοῦ Χριστοῦ Μάρτυς, καὶ Ἀπόστολος, ὑπῆρχε μὲν μαθητὴς τῶν μεγάλων Ἀποστόλων Πέτρου, καὶ Ἀνδρέου· ἐχειροτονήθη δὲ παρ' αὐτῶν Ἐπίσκοπος τῆς πόλεως Δαμασκοῦ. Διατρίβων δὲ ἐν τῇ αὐτῇ πόλει, καὶ μαθὼν, ὅτι Παῦλος ὁ τότε διώκτης τῆς ἐκκλησίας τοῦ Χριστοῦ, κατέρχεται ἀπὸ Ἱεροσολύμων, πρὸς τὸ κρατῆσαι αὐτὸν, ἐβουλήθη φυγεῖν. ἀλλ' ὁ Κύριος ἐμφανισθεὶς αὐτῷ

MENSE OCTOBRI

Die Prima. I.

Certamen ſacroſancti Martyris, & Apoſtoli Ananiæ Epiſcopi Damaſci.

Ananias Chriſti martyr & Apoſtolus, diſcipulus magnorum Apoſtolorum Petri & Andreæ, ordinatus eſt ab iiſdem urbis Damaſci Epiſcopus. Cùm autem in eadem urbe verſaretur, audiſſetque, Paulum tum eccleſiæ Chriſti perſecutorem, venire Hieroſolymis, ut ſe comprehenderet, fugam parabat. Sed apparens illi Dominus, imperavit, ut conſiſteret, & Paulum baptizaret, eique viſum reſtitueret: cæcus enim in itinere factus fuerat, cùm lumen ei circumfulſit, voxque

S. Ananias Epiſc. Damaſci, ex LXX.



que è lumine prodiit, dicens: Saule, quid me perſequeris? Ego ſum Jeſus Chriſtus. Sed vade ad Ananiam, & baptizare, & viſum recipies. Cùm igitur Ananias mandatum Domini implevisset, Saulum baptizavit, mutato nomine Paulum eum appellans. Poſtea comprehenſus ab idololatris, ad Lucianum præfectum adducitur, à quo cæſus primum, deinde in lateribus depexus, poſtremo extra urbem ejectus, lapidibus obrutus eſt: cùmque vivere deſiiſſet, in eadem urbe Damaſco ſepultus fuit.

αὐτῷ. προσέταξε μὴ φυγεῖν, ἀλλὰ περιμεῖναι, καὶ βαπτίσαι αὐτὸν, ὅπως ἀναβλέψῃ. Ἐτυφλώθη γὰρ κατὰ τὴν ὁδὸν, φωτὸς ἐπιλάμψαντος αὐτῷ· καὶ φωνῆς ἐξελθούσης ἐκ τοῦ φωτὸς, καὶ εἰπούσης· Σαῦλε τί με διώκεις; ἐγώ εἰμι Ἰησοῦς ὁ Χριστὸς· ἀλλ' ἀπελθὼν πρὸς Ἀνανίαν, βαπτίσθητι, καὶ ἀναβλέψεις. Ποιήσας οὖν τὸ πρόσταγμα τοῦ Κυρίου ὁ Ἀνανίας, ἐβάπτισε τὸν Σαῦλον, μετονομάσας αὐτὸν Παῦλον. Εἶτα κρατηθεὶς παρὰ τῶν εἰδωλολατρῶν, προσήχθη Λουκιανῷ τῷ Ἄρχοντι. Καὶ τυφθεὶς, καὶ τὰς πλευρὰς ξεσθεὶς, τέλος ἐκβληθεὶς τῆς πόλεως, ἐλιθοβολήθη. Καὶ τελειωθεὶς, ἐτάφη ἐν αὐτῇ τῇ πόλει Δαμασκῷ.

Eo- Τῇ

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ὁσιομάρτυρος Μιχαὴλ, καὶ τῶν σὺν αὐτῷ λϛʹ. μοναχῶν.

Ο Ἅγιος Μιχαὴλ μετὰ τῶν σὺν αὐτῷ τριακονταὲξ μοναχῶν, ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης· ἡσύχαζε δὲ ἐν μοναστηρίῳ, πλησίον Σεβαστουπόλεως. Ἐκστρατεύσας δὲ ὁ Ἀλὴμ ὁ Ἀμηρᾶς τῶν Σαρακηνῶν κατὰ τῆς χώρας ἐκείνης, ἐκράτησε τοὺς ἁγίους· καὶ ἠνάγκασεν ἀρνήσασθαι τὸν Χριστὸν καὶ μαγαρίσαι. Οἱ δὲ ὅσιοι πατέρες οὐκ ἐπείσθησαν, ἀλλ' ἀντέστησαν αὐτῷ, ἐμπτύσαντες καὶ εἰπόντες· οὐ φοβούμεθα τὰς βασάνους, οὐδὲ τὸ θέλημα ὑμῶν ποιοῦμεν, ὑπαρχόντων ἐχθρῶν τοῦ σταυροῦ τοῦ Χριστοῦ. Ἀλλὰ καταπατοῦμεν τὴν ὑμῶν ἀθεότητα, κραταιούμενοι τῇ δυνάμει τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ σταθεὶς ἐν μέσῳ αὐτῶν Μιχαὴλ, ὁ ὁσιώτατος ἡγούμενος, παρεκάλεσε πολλὰ τοὺς μοναχοὺς, τοῦ μὴ ἀρνήσασθαι τὸν Χριστόν. Καὶ οὕτω πάντες προθυμηθέντες, καὶ στηριχθέντες τῇ διδασκαλίᾳ αὐτοῦ, κλίναντες προθύμως τοὺς τραχήλους, ἀπεκεφαλίσθησαν. Καὶ ἔσχατος πάντων ὁ πανόσιος Μιχαὴλ, ξίφει πληγεὶς, ἐτελειώθη.

Eodem die

Certamen Sancti Martyris Michaëlis, & ſociorum triginta ſex monachorum.

Sanctus Michaël cum ſociis triginta ſex monachis, Conſtantino & Itene imperantibus, ſolitariam vitam agebat in monaſterio Sebaſtæ urbi proximo. Cùm verò Alim Saracenorum Ameras incurſionem in illam regionem faceret, captos Sanctos compellebat, Chriſtum abnegare, & ſuperſtitionem Hagarenicam amplecti. At ſancti Patres non ſolùm non ſunt aſſenſi; ſed in illum etiam conſpuentes, reſponderunt: Nullum nobis tormenta terrorem incutiunt, neque veſtris mandatis obtemperabimus, qui hoſtes crucis Chriſti eſtis; ſed veſtram impietatem proculcamus, ſpem noſtram in virtute Domini noſtri Jeſu Chriſti collocantes. Tùm verò Michaël ſanctiſſimus Hegumenus in medio eorum conſtitit, monachoſque, ut in Chriſti confeſſione conſtantes eſſent, plurimum hortabatur. Quare omnes illius doctrina confirmati & animati, porrecta promptiſſimè cervice obtruncati ſunt: omniumque poſtremus religioſiſſimus Michaël gladio percuſſus, vitam finivit.

S. Michaël, & ſocii XXXVI. monachi, Martyres.



Eodem die

Commemoratio Sancti Romani ſcriptoris Contaciorum.

S. Romanus ſcriptor Contaciorum.

SAnctus Romanus fuit ex Syria, ſanctæ eccleſiæ Beryti Diaconus. Conſtantinopolim autem temporibus Anaſtaſii Imperatoris profectus, commoratus eſt in templo ſanctiſſimæ Dei genitricis in ædibus Cyri: ubi etiam Contaciorum donum accepit. Cùm enim ſumma Deum pietate coleret, in oratione pernoctans, pervigilium Blachernarum agere ſolebat, & ad Cyri ædes regredi. Quadam igitur nocte dormienti ei apparuit in ſomnis ſanctiſſima Deipara, chartæque tomum tradidit, inquiens: Accipe chartam, & devora eam. Videbatur autem ſibi ſanctus aperire os, & chartam devorare. Erat verò feſtum ſancti Natalis Chriſti. Itaque ſtatim excitatus è ſomno, admiratione plenus, Deum glorificavit. Deinde conſcenſo ambone pſallere cœpit: *Virgo parit nobis hodie ſuperſubſtantialem*. Cùmque aliorum etiam feſtorum Contacia ad mille ſcripſiſſet, migravit ad Dominum.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου Ῥωμανοῦ τοῦ ποιητοῦ τῶν κοντακίων.

Οὗτος Ῥωμανὸς, ὑπῆρχε μὲν ἀπὸ Συρίας, Διάκονος τυγχάνων τῆς ἐν Βηρυτῷ ἁγίας ἐκκλησίας. Καταλαβὼν δὲ τὴν Κωνσταντινούπολιν ἐπὶ τῶν χρόνων Ἀναστασίου τοῦ βασιλέως, ἀπῆλθε, καὶ κατέμεινεν ἐν τῷ ναῷ τῆς ὑπεραγίας Θεοτόκου, εἰς τὰ Κύρου, ὅπου καὶ τὸ χάρισμα τῶν κοντακίων ἐδέξατο. Ἐν ἀβλαβείᾳ γὰρ διάγων, καὶ διανυκτερεύων, καὶ λιτανεύων ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν, ὑπέστρεφε πάλιν εἰς τὰ Κύρου. Ἐν μιᾷ δὲ τῶν νυκτῶν, κοιμωμένῳ αὐτῷ, ἐφάνη καθ᾽ ὕπνους ἡ ὑπεραγία Θεοτόκος, καὶ ἐπέδωκε τόμον χάρτου, καὶ εἶπε. Λάβε τὸν χάρτην, καὶ κατάφαγε αὐτόν. Ἐνόμισεν οὖν ὁ ἅγιος ἀνοῖξαι τὸ στόμα, καὶ καταπιεῖν τὸν χάρτην. Ἦν δὲ ἡ ἑορτὴ τῶν ἁγίων Χριστουγέννων. Καὶ εὐθέως ἐγερθεὶς ἐκ τοῦ ὕπνου, ἐθαύμαζε, καὶ ἐδόξαζε τὸν Θεόν. Εἶτα ἀναβὰς εἰς τὸν ἄμβωνα, ἤρξατο τοῦ ψάλλειν· ἡ παρθένος σήμερον τὸν ὑπερούσιον τίκτει. Ποιήσας δὲ καὶ ἑτέρων ἑορτῶν κοντάκια, ὡς περὶ τὰ χίλια, πρὸς Κύριον ἐξεδήμησεν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Δομνίνου.

Ὁ Ἅγιος Μάρτυς Δομνῖνος, ὑπῆρχεν ἀπὸ τῆς πόλεως Θεσσαλονίκης, Χριστιανὸς εὐλαβὴς, καὶ τὸν Θεὸν φοβούμενος. Τοῦ δὲ Μαξιμιανοῦ βασίλεια κτίζοντος ἐν Θεσσαλονίκῃ, διαγνωσθεὶς ὡς Χριστιανὸς, ἐκρατήθη, καὶ παρέστη αὐτῷ. Καὶ εἶπεν ὁ Μαξιμιανὸς μετ᾽ ὀργῆς πρὸς αὐτόν. Πῶς ἐμοῦ ἐνταῦθα παρόντος, σὺ τολμᾷς Χριστιανὸν σεαυτὸν ἀνακηρύττειν, καὶ τοὺς Θεοὺς ἀποστρεφόμενος, ἕτερον Θεὸν ὁμολογεῖν; ἀλλὰ θῦσον αὐτοῖς, εἰ βούλει ζῆσαι. Τοῦ δὲ ἁγίου εἰπόντος, ἕνα Θεὸν γινώσκειν, καὶ αὐτὸν προσκυνεῖν, καὶ σέβεσθαι· τῶν δὲ νομιζομένων Θεῶν καταφρονεῖν χρὴ πάντα Χριστιανόν· προσέταξεν ὁ Μαξιμιανὸς τοῖς στρατιώταις, μάστιξι καταξαίνειν τὸ στόμα αὐτοῦ. Ὡς δὲ ἔβλεπεν αὐτὸν ἀμετάθετον τὴν γνώμην ἔχοντα πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκέλευσεν ἀπενεχθέντα τῆς πόλεως ἔξω συντριβῆναι τὰ σκέλη. Καὶ οὕτω συνθλασθεὶς, ἑπτὰ ἡμέρας ἐκαρτέρησε ζῶν, μὴ μεταχὼν τροφῆς. Καὶ μέχρι τέλους εὐχαριστῶν, παρέδωκε τὸ πνεῦμα.

Eodem die

Certamen Sancti Martyris Domnini.

S. Domninus Martyr.

SAnctus martyr Domninus fuit ex urbe Theſſalonica, Chriſtianus pius, Deumque timens. Cùm autem Maximianus regiam Theſſalonicæ ædificaret, cognitus Chriſtianus eſſe, corripitur, eique ſiſtitur: cui Maximianus vehementi ira accenſus: Audes, inquit, me hic præſente Chriſtianum te ipſum profiteri, deoſque averſatus, alium Deum colere? Verùm ſacrifica illis, ſi ſaluti tuæ conſultum velis. Ad hæc ſanctus: Unum, inquit, Deum cognoſcere oportet, eumque adorare ac venerari; ceteros autem, qui putantur, Deos contemnere, omnem Chriſtianum decet. Tùm Maximianus præcepit militibus, ut flagris os ejus percuterent. Cùmque eum adhuc in fide Domini noſtri Jeſu Chriſti conſtantem cerneret, juſſit extra urbem abducto crura confringi. Atque ita confractus, ſeptem adhuc dies ſuperſtes fuit, nullo ſumpto cibo: & ad extremum uſque gratias agens, ſpiritum reddidit.



40

EODEM MENSE

2. Die Secunda.

Certamen Sanctorum Cypriani, & Juſtinæ.

S. Cyprianus, & Juſtina.

Cyprianus ſapiens Pontifex, Decio imperante, Antiochiæ Syriæ natus, primum Philoſophus erat; & magicis artibus apprimè eruditus: ſed poſtea Chriſtianus hac ratione factus eſt: Juſtinam virginem in eadem urbe; quæ ab Optato Epiſcopo baptizata fuerat, Græcus quidam, Idas dictus, ardenter amabat. Sed cùm voti ſui compos fieri non poſſet, confugit ad Cyprianum, rogans eum, ut magicis artibus Juſtinam ad ſibi conſentiendum induceret: Cùm verò Cyprianus fornicationis dæmones ad ſollicitandam virginem tertio deſtinaſſet; ejus tamen animum expugnare nequivit, quæ fundendis ad Deum precibus ſemper intenta erat: Sed ipſe potius à poſtremo, quem miſerat, dæmone correptus; intellexit, vanam ac futilem eſſe magicam artem. Quamobrem combuſtis libris; baptizatus eſt; cumque in virtute progreſſum fecit; ut Epiſcopus ordinatus fuerit; multoſque Chriſti fidem docuerit. Tandem unà cum Juſtina comprehenſus à Damaſci præfecto, pro Chriſto decollatus eſt.

Eo-


ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Β′.

Ἄθλησις τῶν ἁγίων Κυπριανοῦ, καὶ Ἰουστίνης.

Κυπριανὸς ὁ σοφὸς ἱεράρχης, ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Δεκίου, ἀπὸ Ἀντιοχείας τῆς Συρίας. Ἦν δὲ φιλόσοφος, καὶ μάγος τέλειος. Ἀλλ᾽ ὕστερον γέγονε Χριστιανὸς, ἀπὸ ὑποθέσεως τοιαύτης. Παρθένος τις ὑπῆρχεν ἐν αὐτῇ τῇ πόλει, Ἰουστίνη ὄνομα, βαπτισθεῖσα παρὰ Ὀπτάτου τοῦ Ἐπισκόπου. Ἀνὴρ δέ τις Ἕλλην, Ἴδας καλούμενος, ἐπεθύμησεν αὐτῆς· καὶ μὴ τυχὼν τῆς ἐπιθυμίας, προσέδραμε τῷ Κυπριανῷ, παρακαλῶν αὐτὸν, διὰ μαγείας πεῖσαι τὴν Ἰουστίναν, ὑπακοῦσαι αὐτῷ. Ἀποστείλας δὲ ὁ Κυπριανὸς ἐκ τρίτου δαίμονας τῆς πορνείας πρὸς τὴν παρθένον, καὶ μὴ πείσας αὐτὴν προσευχομένην τῷ Θεῷ διαπαντὸς, ἐδαιμονίσθη αὐτός· τοῦ ἐσχάτου δαίμονος στραφέντος, καὶ εἰσελθόντος εἰς αὐτόν. Καὶ συνιδὼν, ὅτι οὐδὲν ὠφελεῖ ἡ μαγικὴ τέχνη, ἔκαυσε τὰ βιβλία αὐτοῦ, καὶ ἐβαπτίσθη. Καὶ τοσοῦτον ἐγένετο ἐνάρετος, ὡς καὶ Ἐπίσκοπος γενέσθαι· καὶ πολλοὺς διδάξαι τὴν τοῦ Χριστοῦ πίστιν. Ὕστερον δὲ κρατηθεὶς, μετὰ τῆς Ἰουστίνης, παρὰ τοῦ τῆς Δαμασκοῦ Ἄρχοντος, ὑπὲρ Χριστοῦ ἀπεκεφαλίσθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοφίλου τοῦ ὁμολογητοῦ.

Ὁ ὅσιος πατὴρ ἡμῶν, καὶ ὁμολογητὴς τοῦ Χριστοῦ Θεόφιλος, ἦν μοναχὸς εὐλαβὴς καὶ φοβούμενος τὸν Θεὸν, ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου. Ὃν ἰδὼν σπουδάζοντα καταστρέψαι τὰς ἁγίας εἰκόνας, καὶ πάντας πρὸς τὴν Εἰκονομαχῶν αἵρεσιν ἐπιστρέψαι· ζήλῳ θείῳ κινηθεὶς, ἐστάθη ἐνώπιον αὐτοῦ. Καὶ μετὰ παῤῥησίας ἤλεγξεν αὐτὸν, παράνομον αὐτὸν εἰπὼν, καὶ τοῦ Ἀντιχρίστου πρόδρομον, καὶ ἀρνητὴν τῆς ὀρθοδόξου πίστεως· εἰς θυμὸν οὖν, καὶ ὀργὴν κινήσας αὐτὸν, πρῶτον μὲν ἐτύφθη σφοδρῶς, καὶ εἰς φυλακὴν ἐνεβλήθη, καὶ ὑπὸ λιμοῦ τὸ σῶμα κατεδαπανήθη. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς, καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὴν τῶν ἁγίων εἰκόνων προσκύνησιν, καὶ τὸ σέβας· καὶ μὴ πεισθεὶς, εἰς ἐξορίαν ἀποστέλλεται. Καὶ ἐκεῖ πολλοὺς πειρασμοὺς ὑπομείνας, καὶ μυρία δεινὰ παθὼν, καὶ ἐπὶ πᾶσι τὸν Θεὸν δοξάζων, καὶ τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ εὐχαριστῶν, πρὸς Χριστὸν χαίρων ἐξεδήμησεν.

Eodem die

Certamen Sancti Patris noſtri Theophili Confeſſoris.

SAnctus Pater noſter Chriſtique Confeſſor, Theophilus, monachus fuit pius Deumque timens, imperante Leone Iſauro: quem cùm videret in id ſummo ſtudio incumbere, ut ſacras imagines ſubverteret, omneſque ad Iconomachorum hæreſim traheret; divino zelo accenſus, adiit eum; atque confidenti animo objurgavit, prævaricatorem eum, Antichriſti præcurſorem, fideique orthodoxæ deſertorem inclamando. Quare in iram & indignationem illum excitans, primum quidem graviſſimè cæditur: deinde in carcerem includitur, ut inedia corpus conficeretur. Poſteà è cuſtodia eductus, cùm rurſus impelleretur, ut ſanctarum imaginum cultum & adorationem ejuraret, nec ad id induci poſſet, in exilium pulſus eſt, in quo multas ærumnas, plurimaſque moleſtias perpeſſus, & pro omnibus Deum glorificans, ejuſque ſancto nomini gratias agens, ad Chriſtum lætus migravit.

S. Theophilus Confeſſor.



EODEM MENSE

Die Tertia.

3. *Certamen Sacroſancti Martyris Dionyſii Areopagitæ, Athenarum Epiſcopi.*

S. Dionyſius Areopagita, & diſcipuli ejus.

MAgnus Dionyſius in urbe Athenarum unus ex iis, qui gloria, divitiis, & ſapientia excellebant, in eo, quem Areopagum vocant, cauſarum judex erat. Cùm verò Sanctus Apoſtolus Paulus Athenas profectus, Chriſtum prædicaret, uti erat acri ingenio, veritatem facilè intellexit, & in Chriſtum credidit: baptizatuſque, Athenarum Epiſcopus ordinatur, multoſque Græcorum docuit, & ad Deum converſos baptizavit. Didicit etiam arcana Dei myſteria à Sancto Hierotheo Epiſcopo, & multos libros de cœleſtibus virtutibus conſcripſit. Delatus autem ad Athenarum Præfectum ab idololatris, comprehenditur cum duobus diſcipulis: cùmque multa tormenta ſubiiſſent, primus quidem ipſe decollatur, qui ſuis manibus caput ad duo milliaria ſuſtulit, nec priùs depoſuit, quàm Chriſtianæ feminæ obviam factus, illud ei tradidit. Poſtea & duo ejus diſcipuli capite obtruncati ſunt.

ΜΗΝΙ' Τῼ͂ Α'ΤΤῼ

Γ'.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου, Ἐπισκόπου Ἀθηνῶν.

ΟΜέγας Διονύσιος ὑπῆρχε μὲν ἐν Ἀθήναις τῇ πόλει εἷς τῶν ἐνδόξων, καὶ πλουσίων, καὶ σοφῶν· ἔκρινε δὲ εἰς τὸν λεγόμενον Ἄρειον πάγον τὰς δίκας. Ἀπελθόντος δὲ τοῦ ἁγίου Ἀποστόλου Παύλου εἰς Ἀθήνας, καὶ κηρύττοντος τὸν Χριστὸν, ταχὺς ὢν τὴν σύνεσιν, ἐπέγνω τὴν ἀλήθειαν, καὶ ἐπίστευσεν εἰς Χριστόν. Καὶ βαπτισθεὶς, χειροτονεῖται Ἐπίσκοπος Ἀθηνῶν· διδάσκων πολλοὺς τῶν ἑλλήνων, καὶ πρὸς Θεὸν ἐπιστρέφων, καὶ βαπτίζων. Ἔμαθε δὲ καὶ τὰ ἀπόρρητα μυστήρια τοῦ Θεοῦ ὑπὸ τοῦ ἁγίου Ἱεροθέου τοῦ Ἐπισκόπου. Καὶ συνεγράψατο βιβλία πολλὰ περὶ τῶν ἐπουρανίων δυνάμεων. Διαβληθεὶς δὲ τῷ τῶν Ἀθηνῶν Ἄρχοντι παρὰ τῶν εἰδωλολατρῶν, ἐκρατήθη μετὰ δύο μαθητῶν αὐτοῦ, καὶ πολλὰ τιμωρηθέντες, πρῶτος μὲν αὐτὸς ἀπεκεφαλίσθη. Καὶ δεξάμενος τὴν κεφαλὴν αὐτοῦ ταῖς οἰκείαις χερσὶ, περιεπάτησε μίλια δύο. Καὶ οὐ πρότερον ἔθηκεν αὐτὴν, ἕως συνήντησε γυναικὶ Χριστιανῇ, καὶ ἐπέδωκεν αὐτήν. Ἔπειτα ἀπεκεφαλίσθησαν καὶ οἱ δύο μαθηταὶ αὐτοῦ.



ΜΗΝΙ ΤΩ͂ ΑΥΤΩ͂

Δʹ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἀδαύκτου, καὶ Καλλισθένης τῆς αὐτοῦ θυγατρός.

Ἄδαυκτος ὁ Μάρτυς, ὑπῆρχε μὲν ἀπὸ τῆς πόλεως Ἐφέσου. ἀπεῖχε δὲ τὴν τοῦ δουκὸς ἀξίαν, ἐπὶ Μαξιμίνου τοῦ βασιλέως, ἔχων καὶ θυγατέρα παρθένον καὶ ὡραιοτάτην, Καλλισθένην ὀνόματι. Ἀκούσας δὲ ὁ Μαξιμῖνος περὶ αὐτῆς, ἀπέστειλεν ἐλθεῖν αὐτὴν πρὸς αὐτόν. Ὁ δὲ πατὴρ αὐτῆς ἔκρυψεν αὐτήν, φυγαδεύσας εἰς τὰ μέρη τῆς Ἀνατολῆς. Μαθὼν δὲ τοῦτο ὁ Μαξιμῖνος, καὶ ὀργισθεὶς, ἐκράτησε τὸν Ἄδαυκτον προφάσει τοῦ Χριστιανισμοῦ· καὶ δημεύσας, ἐξώρισεν εἰς Μεσοποταμίαν, γράψας τῷ τῆς Μεσοποταμίας Ἄρχοντι, ἀναγκάσαι μὲν αὐτὸν θῦσαι τοῖς εἰδώλοις· μὴ πειθόμενον δὲ, φονεῦσαι. Ὁ δὲ Ἄρχων μὴ πείσας αὐτὸν, ἀπεκεφάλισεν. Εἶτα ἐτάφη παρὰ τῆς γυναικὸς αὐτοῦ, καὶ τῆς θυγατρός. Τῆς δὲ βασιλείας κρατήσαντος Λικινίου, προσῆλθεν ἡ Καλλισθένη τῇ βασιλίσσῃ, καὶ διηγήσατο πάντα. Καὶ τῇ τῆς βασιλίδος προστάξει μετεκόμισε τοῦ πατρὸς αὐτῆς τὸ λείψανον εἰς Ἔφεσον. Εἶτα καὶ αὐτὴ καλῶς βιώσας ἐτελειώθη.

Τῇ

EODEM MENSE

Die Quarta.

4.

Certamen Sanctorum Martyrum Adaucti, & Calliſthenes ejus filiæ.

SS. Adaudus, ejusque filia Calliſthene.

ADauctus Martyr ex urbe Epheſo oriundus, Ducis dignitate temporibus Maximini Imperatoris ornatus, filiam virginem ac venuſtiſſimam habuit, Calliſthenem nomine: cujus forma captus Maximinus, juſſit eam ad ſe adduci. At pater cùm illam occultaſſet, in Orientis partes amandavit. Quod ubi Maximinus intellexit, furore percitus, Adauctum obtentu Chriſtianæ fidei cauſa correptum, & proſcriptum, in Meſopotamiam relegavit, cum mandatis ad Meſopotamiæ Præfectum, ut eum ad ſacrificandum idolis compelleret; ſecùs facientem, interimeret. Adauctus igitur in ſententia perſeverans, capite damnatus eſt à Præfecto, ſepultuſque ab uxore & filia. Sed cùm rerum potitus eſſet Licinius, adiit Calliſthene Auguſtam, à qua, re omni, uti ſe habuerat, expoſita, impetravit, ut patris reliquias Epheſum transferret; ubi cùm vitam rectè traduxiſſet, deceſſit.

Eo-



Eodem die

Certamen Sacroſancti Martyris Petri Epiſcopi Capitoleorum.

S. Petrus Episc.

GRæcus erat hic Petrus: ſed ubi primùm Chriſti doctrinam deguſtavit, credidit, baptizatuſque fuit cum uxore, liberis, totaque familia. Deinde divinam Scriptutam legens ac diſcens, Capitoleorum eccleſiæ Epiſcopus renunciatur. Cùm verò multos Græcorum docendo ad Chriſtum convertiſſet, mota adverſus Chriſtianos perſecutione, ab idololatris captus graviſſimè cæditur; cateoiſque conſtrictus, ad Præſidem adducitur: qui cùm eum ad ſacrificandum idolis ioducere nequiret, eruit ei oculos, linguam præcidit, aures amputavit, manuum pedumque nervos ſuccidit. Poſt hos cruciatus, in præparatam crucem ſanctum egit, orantem ad Deum, ac dicentem: Domioe, ne ſtatuas illis hoc peccatum. Tandem adhuc ſpiranti milites caput obtruncaverunt; atque ita vitam finivit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Πέτρου Ἐπισκόπου Καπετωλέων.

Ἕλλην ὑπῆρχεν οὗτος ὁ Πέτρος· ἀλλ' ἐπειδὴ τῆς τοῦ Χριστοῦ διδασκαλίας ἐγεύσατο, πιστεύσας ἐβαπτίσθη μετὰ τῆς γυναικός, καὶ τῶν τέκνων, καὶ ὅλου τοῦ οἴκου αὐτοῦ. Εἶτα ἀναγνοὺς, καὶ μαθὼν τὴν θείαν γραφὴν, τῆς τῶν Καπετωλέων ἐκκλησίας προεχειρίσθη Ἐπίσκοπος. Πολλοὺς δὲ τῶν ἑλλήνων διδάσκων, καὶ πρὸς Χριστὸν ἐπιστρέφων, διωγμοῦ κινηθέντος κατὰ τῶν Χριστιανῶν, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν· καὶ σφοδρῶς τυφθεὶς, καὶ ἁλύσεσι δεθεὶς, παρεδόθη τῷ Ἄρχοντι. Ὁ δὲ Ἄρχων μὴ πείσας αὐτὸν, θῦσαι τοῖς εἰδώλοις, τοὺς ὀφθαλμοὺς ἐξώρυξε, καὶ τὴν γλῶτταν ἐξέτεμε, καὶ τὰ ὦτια ἀπέκοψε, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας ἐνευροκόπησε. Μετὰ δὲ τὸ ποιῆσαι ταύτας τὰς τιμωρίας, σταυρὸν εὐτρεπίσας, ἐκρέμασε τὸν ἅγιον, εὐχόμενον πρὸς τὸν Θεὸν, καὶ λέγοντα· Κύριε μὴ στήσεις αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Ἔτι δὲ ἐμπνέοντα, ἦλθον οἱ στρατιῶται, καὶ ἀπεκεφάλισαν αὐτόν· καὶ οὕτως ἐτελειώθη.



Τῇ αὐτῇ ἡμέρᾳ

Ἡ κοίμησις τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου τοῦ ἁπλοῦ.

ΠΑῦλος ὁ ἐπικληθεὶς διὰ τὸν τρόπον ἁπλοῦς, ὑπῆρχε μὲν γεωργὸς, συνεζεύχθη δὲ γυναικὶ ὡραίᾳ τὴν μορφὴν, ἀλλὰ κακοτρόπῳ τὴν γνώμην. Ἐλθὼν δέ ποτε ἀπὸ τοῦ ἀγροῦ εἰς τὸν οἶκον αὐτοῦ, εὗρε τὴν γυναῖκα μετὰ μοιχοῦ ἁμαρτάνουσαν, καὶ καταλιπὼν καὶ τὸν οἶκον, καὶ τὰ παιδία αὐτοῦ, ἐξῆλθεν εἰς τὴν ἔρημον. Καὶ ἀπελθὼν πρὸς τὸν μέγαν Ἀντώνιον, παρεκάλει ποιῆσαι αὐτὸν μοναχόν. Ὁ δὲ ἰδὼν αὐτὸν γέροντα, εἶπεν· ἑξήκοντα ἐτῶν γέρων, πειρασμοὺς ὑπομεῖναι οὐ δύναται. Καὶ ὁ Παῦλος εἶπεν. Εἴτι μοι εἴπῃς, ποιῶ. Καὶ ἀποπειράσας αὐτὸν, εὗρεν, ὅτι πάντα ὑπομένει. Καὶ ἐκούρευσεν αὐτὸν, καὶ ἐποίησε μοναχόν. Καὶ κτίσας κέλλιον κατ᾽ ἰδίαν εἰς ἕτερον σπήλαιον, δέδωκε μένειν ἐκεῖ. Οὕτω δὲ ἠγωνίσατο εἰς ἀρετὴν, ὡς καὶ τοῦ θαυματουργεῖν ἀξιωθῆναι. Νεανίσκου γάρ τινος ἔχοντος δαίμονα πρὸς Ἀντώνιον ἐλθόντος, τοῦ Ἀντωνίου παραχωρήσαντος, ἐξέβαλεν αὐτόν. Καὶ μετὰ ταῦτα ἐτελειώθη.

Eodem die

Dormitio Sancti Patris noſtri Pauli ſimplicis.

PAulus cognomento ac moribus Simplex, agricola fuit. Cùm autem uxorem forma quidem corporis venuſtam, at perditis moribus duxiſſet, rediretque aliquando ex agro domum, uxorem cum adultero peccantem deprehendit. Quare relicta domo, ac pueris ſuis, ſeceſſit in ſolitudinem; profectuſque ad magnum Antonium, petebat, ut monachum ſe initiaret: cujus ſenectutem intuitus Antonius: Sexaginta, inquit, annorum ſenex, laboribus ac moleſtiis nequaquam par eſt. Cui Paulus: Siquid mihi imperaveris, faciam. Antonius igitur periculo facto, cùm eum ad omnia ſuſtinenda paratum inveniſſet, totondit, & monachum fecit, ædificatamque ſeorſùm in altero ſpecu cellulam ei tradidit: ubi tanto ſtudio ſe ipſum in omni virtutum genere excoluit, ut miracula patrare meruerit: à juvene enim dæmonium habente, qui ad Antonium venerat, illo tum abſente, Paulus dæmonium fugavit. Poſt hæc vita functus eſt. S. Paulus Simplex.



Eodem die

Certamen Sacroſancti Martyris Dionyſii Patriarchæ Alexandrini.

S. Dionyſius Patriarcha Alexandriæ.

SAnctus Pater noſter Dionyſius claruit tempore Valeriani & Gallieni Imperatorum. Cùm autem perſecutio in Chriſtianos omnes, præcipuè verò in Epiſcopos mota eſſet, (quod Imperatores exiſtimarent, ſi Epiſcopi retinerentur, ceteros Chriſtianos nullo negotio ſub poteſtatem caſuros:) comprehenſus ab Alexandriæ Præfecto Sanctus Dionyſius, compulſuſque Chriſtum abnegare, & idolis ſacrificare, cùm ad id induci nulla ratione poſſet, in interiorem Ægyptum relegatur, ut omnis videndi illius facultas amicis adimeretur. Quo in exilio cùm fide Chriſti ad ſe accedentes imbuere non ceſſaret, non lapidibus ſolùm ab idololatris petitus, variiſque tormentorum generibus excruciatus fuit; ſed in locum etiam horridiorem incultioremque rurſus Præfecti juſſu deportatur, ubi plurimis toleratis moleſtiis, ſacrum demum caput gladio ei amputatur.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Διονυσίου Πατριάρχου Ἀλεξανδρείας.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Διονύσιος, ἦν ἐπὶ τῶν χρόνων Οὐαλεριανοῦ καὶ Γαλλιηνοῦ τῶν βασιλέων. Διωγμοῦ δὲ κινηθέντος κατὰ τῶν Χριστιανῶν, μάλιστα δὲ κατὰ τῶν Ἐπισκόπων, νομισάντων τῶν βασιλέων, ὅτι ἐὰν οἱ Ἐπίσκοποι παρασαλῶσι, ἀκόλως τοὺς λοιποὺς Χριστιανοὺς ὑποχειρίους ποιήσουσι· κρατήσας ὁ τῆς Ἀλεξανδρείας Ἄρχων τὸν ἅγιον Διονύσιον, καὶ πολλὰ καταναγκάσας, ἀρνήσασθαι μὲν τὸν Χριστὸν, θῦσαι δὲ τοῖς εἰδώλοις, καὶ μὴ πείσας, ἐξώρισεν εἰς τὴν ἐνδοτέραν Αἴγυπτον· προστάξας μὴ βλέπεσθαι αὐτὸν ὑπό τινος τῶν φίλων αὐτοῦ. Ἀπελθὼν δὲ εἰς τὴν ἐξορίαν, καὶ διδάσκων τὴν τοῦ Χριστοῦ πίστιν τοὺς προσερχομένους αὐτῷ, οὐ μόνον ἐλιθάσθη παρὰ τῶν εἰδωλολατρῶν, καὶ διαφόρως ἐβασανίσθη, ἀλλ᾽ ἐξωρίσθη πάλιν παρὰ τοῦ Ἄρχοντος εἰς τραχύτερον τόπον, καὶ ἀοίκητον. Ἔνθα πολλοὺς πειρασμοὺς ὑπομείνας, τέλος τὴν ἱερὰν αὐτοῦ κεφαλὴν διὰ ξίφους ἀπετμήθη.

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, καὶ Διακόνων, Γαΐου, Φαύστου, Εὐσεβίου, καὶ Χαιρήμονος.

Μαθηταὶ ὑπῆρχον οὗτοι οἱ Διάκονοι, καὶ Μάρτυρες, τοῦ ἁγίου Ἱερομάρτυρος Διονυσίου. Καὶ ὁ μὲν Γάϊος καὶ ὁ Φαῦστος σὺν αὐτῷ ἐξορισθέντες, καὶ πολλὰ βασανισθέντες, καὶ ταλαιπωρηθέντες, τὸ διὰ μαρτυρίου τέλος ἐδέξαντο. Ὁ δὲ Εὐσέβιος καὶ ὁ Χαιρήμων, μετὰ τὴν τοῦ διδασκάλου αὐτῶν καὶ Ἀρχιερέως ἐξορίαν, ὑπὸ Θεοῦ δυναμωθέντες, καὶ τοὺς ἐν φυλακαῖς ἁγίους ἐπισκεπτόμενοι, καὶ θεραπεύοντες, καὶ τὰ τῶν ἁγίων Μαρτύρων λείψανα περιστέλλοντες καὶ θάπτοντες, διήρκεσαν ἕως τῆς βασιλείας Δεκίου, μὴ ὑποστελλόμενοι τὸ σύνολον, ἀλλὰ παρρησίᾳ ὁμολογοῦντες τὸν Χριστὸν, καὶ τὴν αὐτοῦ σωτήριον ἐνανθρώπησιν τοῖς πᾶσιν ἀνακηρύττοντες· διὰ τοῦτο κρατηθέντες καὶ αὐτοὶ παρὰ τῶν εἰδωλολατρῶν, καὶ δεθέντες ἁλύσεσι σιδηραῖς, τῷ τῆς Ἀλεξανδρείας παραδόθησαν Ἄρχοντι. Καὶ πολλαῖς βασάνοις ὑποβληθέντες, τέλος ὁ μὲν Εὐσέβιος ἐπὶ ξύλου κρεμασθεὶς, καὶ ξεσθεὶς ἐτελειώθη. Ὁ δὲ Χαιρήμων ῥάβδοις τυπτόμενος ἐξέπνευσεν.

Eodem die

Certamen Sanctorum Martyrum, & Diaconorum Gaii, Fauſti, Euſebii, & Chæremonis.

Diſcipuli fuerunt hi Diaconi & Martyres, ſacroſancti Martyris Dionyſii: & Gajus quidem, ac Fauſtus exilii illius comites, poſt multos cruciatus & ærumnas martyrio defuncti ſunt. Euſebius autem, & Chæremon, poſtquam magiſter & Antiſtes eorum damnatus exilio eſt, divina adjuti virtute, eos qui in vinculis erant, Sanctos adibant, eiſque miniſtrabant: Sanctorum etiam Martyrum reliquias colligentes ſepeliebant: atque ita perſtitere uſque ad Decii Imperatoris tempora, nequaquam ſe ſubducentes, ſed maxima Chriſtum libertate confitentes, ſalutaremque illius incarnationem omnibus prædicantes. Quamobrem comprehenſi & ipſi ab idololatris, & catenis ferreis conſtricti, Alexandriæ Præfecto ſiſtuntur: & variè torti, tandem Euſebius in equuleum actus, depexuſque, deceſſit; Chæremon verò virgis cæſus expiravit. SS. Gajus, Fauſtus, Euſebius, & Chæremon Diaconi, & MM.



Eodem die

Commemoratio Sancti Patris noſtri Hierothei Pontificis.

S. Hierotheus Epiſcopus.

Hierotheus magnus Pontifex fuit unus ex novem virorum numero, qui Athenis Senatores erant, magiſter Dionyſii Areopagitæ: Chriſti autem fide à Sanctis Apoſtolis imbutus, eoſque ſecutus, unà cum ipſis res divinas celebrabat, exodios hymnos componens, & concinens in dormitione ſanctæ & glorioſiſſimæ Dominæ noſtræ Deiparæ, ſemperque Virginis Mariæ. Cùmque in Apoſtolorum oculis honeſtiſſimè verſaretur, eo ſapientiæ & cognitionis divinæ proceſſit, ut Sanctum Dionyſium, quem magnus Apoſtolus Paulus ad Chriſti fidem converterat, virtute, adjunctaque opera ſanctiſſimi Spiritus, de cœleſtibus virtutibus, atque Angelicis ordinibus, deque univerſo cœleſti orbe docuerit. Scripſit etiam plures alios libros, in quibus de magnis myſteriis diſſeruit. Cùmque totum vitæ ſuæ tempus in pietate & virtute conſumpſiſſet, multumque Deo ſerviiſſet, multaque idcirco dona promeruiſſet, in pace requievit.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν καὶ Ἱεράρχου Ἱεροθέου.

Ἱερόθεος ὁ μέγας Ἱεράρχης, ὑπῆρχε μὲν εἷς τῶν ἐννέα βουλευτῶν ἐν Ἀθηναίοις τῇ πόλει, διδάσκαλος δὲ Διονυσίου Ἀρεοπαγίτου. Διδαχθεὶς δὲ τὰ περὶ τοῦ Χριστοῦ παρὰ τῶν ἁγίων Ἀποστόλων, ἠκολούθει αὐτοῖς, καὶ συνεδοξολόγει, ἐξοδίους ὕμνους συμπλέκων, καὶ ψάλλων ἐν τῇ κοιμήσει τῆς ἁγίας ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, ἐκδιαπρέπων ἐνώπιον τῶν Ἀποστόλων κατὰ πάντα. Εἰς τοσοῦτον δὲ ἔφθασε σοφίας, καὶ γνώσεως Θεοῦ, ὡς καὶ τὸν ἅγιον Διονύσιον, μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν ὑπὸ τοῦ μεγάλου Ἀποστόλου Παύλου, τῇ δυνάμει καὶ συνεργίᾳ τοῦ παναγίου Πνεύματος, διδάξαι τὰ περὶ τῶν οὐρανίων δυνάμεων, καὶ τῶν Ἀγγελικῶν τάξεων, καὶ παντὸς τοῦ οὐρανίου κόσμου. Συνεγράψατο δὲ καὶ ἄλλας βίβλους πολλὰς περὶ μυστηρίων μεγάλων διαγορευούσας. Βιώσας δὲ τὸν ὅλον τῆς ζωῆς αὐτοῦ χρόνον ἐν εὐλαβείᾳ καὶ ἀρετῇ, καὶ τὸν Θεὸν πολλὰ θεραπεύσας, καὶ διὰ τοῦτο καὶ χαρισμάτων πολλῶν ἀξιωθεὶς, τελειωθεὶς, ἀνεπαύσατο.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Δομετίου τοῦ Πέρσου.

Ὁ Ἅγιος Δομέτιος, ὑπῆρχεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου ἐκ τῆς χώρας Περσῶν· ἐδιδάχθη δὲ ὑπὸ Χριστιανοῦ τινὸς τὴν εὐσέβειαν, καὶ βαπτισθεὶς, ἀφεὶς καὶ γονεῖς καὶ πλοῦτον, ἀπῆλθεν εἰς τὸ μοναστήριον τοῦ ἁγίου Σεργίου, καὶ Βάκχου, πλησίον Θεοδοσιουπόλεως· καὶ ἐγένετο μοναχός. Ἐν ᾧ καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ χειροτονεῖται Διάκονος· καὶ λειτουργοῦντος τοῦ Ἀρχιμανδρίτου, κρατοῦν τὸ ῥιπιστήριον, πλησίον τῆς ἁγίας τραπέζης, ὁρᾷ τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς περιπετόμενον ἐπὶ τὰ ἅγια δῶρα, καὶ ἐπικαθήμενον αὐτοῖς. Τοσοῦτον γὰρ εἶχε καθαρὰν τὴν ψυχὴν, ὡς καὶ τὸ Πνεῦμα τὸ ἅγιον σωματοειδῶς θεωρεῖν, καὶ ὑπ' αὐτοῦ φωτίζεσθαι τὴν διάνοιαν. Βουληθέντος δὲ τοῦ Ἀρχιμανδρίτου χειροτονῆσαι αὐτὸν καὶ πρεσβύτερον, φυγὼν, ἀπῆλθεν ἔν τινι σπηλαίῳ. Ἔνθα πολλοὺς τῶν προσερχομένων αὐτῷ διδάσκων ὠφέλει. Καὶ μαθὼν τοῦτο Ἰουλιανὸς ὁ παραβάτης, ἀποστείλας ἐλιθοβόλησεν αὐτόν.

Eodem die:

Certamen Sancti Dometii Perſæ.

Sanctus Dometius Perſa Conſtantino magno imperante, pietatem à Chriſtiano quodam edoctus, & baptizatus, relictis parentibus & divitiis, ſe ſe in ſanctorum Sergii & Bacchi monaſterium Theodoſiopoli proximum recepit: ubi monachus primum factus eſt; tùm ob egregias animi dotes Diaconus ordinatus. Cùm verò Liturgiam aliquando Archimandrita celebraret, Dometius, qui flabellum prope ſacram menſam præ manibus tenebat, vidit Spiritum Sanctum ſub columbæ ſpecie ſacra dona circumvolitantem, & ſuper ipſis inſidentem: ſic enim puram animam habebat, ut & ſanctum Spiritum in forma corporea cerneret, menſque ejus ab eodem illuſtraretur. Cùm autem & Presbyterum cum Archimandrita ordinare vellet, fugam arripuit, & in ſpeluncam ſe abdidit: ubi cùm multos eorum, qui ad ſe accedebant, docendo juvaſſet, Julianus apoſtata, re cognita, miſit qui lapidibus eum obruerent. S. Dometius Perſa.



Eodem die

Commemoratio Sancti Amun Ægyptii.

S. Amun Ægyptius. AMun theophorus, inter aſcetas admirabilis, ex Ægypto ortum duxit, monaſticæ vitæ ab adoleſcentia ſua ſtudioſus. Cùm autem Maximianns Imperator rerum potiretur, abiit in eremum, quietè ſolus agens, unoque pallio contentus, quod noctes dieſque geſtabat, herbiſque pro cibo utens, quas tellus ſponre ſua ferebat. Vixit autem uſque ad Antonii Magni certamina: qui cùm aliquando ſedens, fratres utilia animæ verba docetet, vidit beatam Amun animam è corpore egreſſam, Angelorum manibus in cœlum efferri: & ſtatim exſurgens, Deum glorificabat. Rogatus autem ab iis, qui aderant, quod viderat, indicavit. Illi igitur notata hora profecti in Ægyptum, poſt decem dies comperere, eadem hora, qua dixerat Antonius, Sanctum Amun obdormiiſſe.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου Ἀμοῦν τοῦ Αἰγυπτίου.

ἈΜοῦν ὁ θεοφόρος, ἐν ἀσκηταῖς μὲν ἐγένετο θαυμαστός· ὑπῆρχε δὲ ἀπὸ τῆς Αἰγύπτου, φιλομόναχος ὢν ἀπὸ νεότητος· κατὰ δὲ τοὺς καιροὺς Μαξιμιανοῦ τοῦ βασιλέως, ἀνεχώρησεν εἰς τὴν ἔρημον· καὶ ἀπελθὼν καταμόνας ἡσύχαζεν, ἓν μόνον ἱμάτιον φορῶν νυκτὸς καὶ ἡμέρας, καὶ τρεφόμενος ἐκ τῶν φυομένων βοτανῶν. Διήρκεσε δὲ ἡ ζωὴ αὐτοῦ μέχρι τῶν ἀγώνων τοῦ μεγάλου Ἀντωνίου· ἐξ οὗ καὶ τῆς μακαρίας ψυχῆς τοῦ Ἀμοῦν τοῦ σώματος ἐξελθούσης, καὶ πρὸς οὐρανὸν ἀναφερομένης, καθεζόμενος ὁ ἅγιος Ἀντώνιος, καὶ διδάσκων τινὰς τῶν ἀδελφῶν ψυχωφελῆ ῥήματα, ἰδὼν τὴν ψυχὴν, ἐξαίφνης ἀναστὰς, ἔβλεπεν αὐτὴν ἐφελκομένην ὑπὸ Ἀγγέλων, καὶ ἐδόξαζε τὸν Θεόν. Ἐρωτήσαντες δὲ οἱ παρόντες, καὶ μαθόντες τὸ πρᾶγμα, ἠκρίβωσαν τὴν ὥραν, καὶ ἀπελθόντες εἰς Αἴγυπτον, μετὰ δεκάτην ἡμέραν, εὗρον, ὅτι ἐκοιμήθη ὁ ἅγιος Ἀμοῦν κατ' ἐκείνην τὴν ὥραν, ἣν εἶπεν Ἀντώνιος.



91

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Ε.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Μαμέλχθης.

Ἡ Ἁγία Μαμέλχθα ὑπῆρχε μὲν ἐκ Περσίδος, ἱέρεια δὲ τοῦ ναοῦ Ἀρτέμιδος, ἔχουσα καὶ ἀδελφὴν Χριστιανήν. Κατενεχθεῖσα δὲ εἰς ὕπνον, εἶδεν Ἄγγελον Θεοῦ δεικνύοντα αὐτῇ τὰ μυστήρια τῶν Χριστιανῶν. Καὶ ἀναστᾶσα ἔμφοβος, διηγεῖται τῇ ἀδελφῇ. Ἡ δὲ ἄγει αὐτὴν πρὸς τὸν Ἐπίσκοπον. Καὶ μαθὼν Ἐπίσκοπος τὰ τῆς ὀπτασίας, εἶπεν αὐτῇ, ὅτι ὀφείλεις Χριστιανὴ γενέσθαι· ἣν εὐθέως ἐβάπτισε, καὶ ἐδέξατο αὐτὴν ἡ ἰδία ἀδελφή. Ὅθεν μαθόντες οἱ Ἕλληνες, ἐτιμωρήσαντο αὐτήν, καὶ ἀπέκτειναν ἐν λίθοις, ἔτι τὰ ἐμφώτια τοῦ ἁγίου βαπτίσματος περιβεβλημένην. Καὶ ἔρριψαν εἰς λάκκον βαθύτατον· ἐξ οὗ οἱ Χριστιανοὶ μόλις αὐτὴν ἀνήγαγον. Προσελθὼν δὲ τῷ βασιλεῖ τῶν Περσῶν ὁ Ἐπίσκοπος, καὶ αἰτήσας, ἔλαβεν ἐξουσίαν τοῦ καταλῦσαι μὲν τὸν ναὸν τῆς Ἀρτέμιδος, οἰκοδομῆσαι δὲ ἐκκλησίαν ἐπ' ὀνόματι τῆς ἁγίας Μάρτυρος· ἣν καὶ κτίσας, ἐν αὐτῇ τὸ τίμιον αὐτῆς ἀπέθετο λείψανον.

Τῇ

EODEM MENSE

Die Quinta. 5.

Certamen Sanctæ Martyris Mamelchtæ.

Sancta Mamelchta ex Perſide fuit, templi quidem Dianæ ſacerdos, ſed ſororem Chriſtianam habens. Cùm autem in ſomnis vidiſſet Angelum Dei ſibi Chriſtianorum myſteria oſtendentem, excitata cum terrore de ſomno, rem omnem ſorori aperuit: à qua ad Epiſcopum adducitur. Epiſcopus verò intellecto viſionis ſymbolo: Chriſtianam, inquit, oportet te fieri. Statimque illam, ſororis manibus de ſacro fonte ſuſceptam, baptizavit. Quare vehementi furore correpti gentiles, multis excruciatam tormentis, lapidibuſque obrutam interfecere, ſplendida adhuc ſacri baptiſmatis veſte indutam, atque in profundiſſimum lacum demerſere: unde vix à Chriſtianis extracta eſt. Adiit autem Perſarum regem Epiſcopus, impetravitque, ut everſo Dianæ templo, eccleſiam ſanctæ Martyris nomine excitaret: quod cùm ædificaſſet, pretioſas ejus reliquias ibi depoſuit.

S. Mamelchta Martyr.

Eo-



92

Eodem die

Certamen Sanctæ Martyris Charitinæ.

S. Charitina Martyr.

CHaritina Chriſti martyr fuit temporibus Diocletiani Imperatoris, & Domitii Comitis, ſerva Claudii cujuſdam: de qua cùm ad Comitem rumor veniſſet, ſcripſit hic ad illius dominum, ut ea ad ſe mitteretur, propterea quod de ea tamquam Chriſtiana haberi quæſtionem oporteret. Tùm dominus mœrore affectus & ſacco indutus, ſortem illius deplorabat. Illa verò dominum ſuum conſolabatur: ne te affictes, inquiens, domine mi: ego enim reliquias meas pro meis, tuiſque peccatis tradam. Cui ille: Memento mei apud cœleſtem regem. Igitur miſſa ad Comitem, ſeque ipſam Chriſtianam profeſſa, primum capite raſo, & candenti carbone conſperſo; deinde ingenti è collo ejus appenſo lapide, in mare demerſa, aquam maris pro baptiſmo habuit. Unde egreſſa, ad conſpectum Comitis venit, animoſque adſtantium rei magnitudine attonitos reddidit: poſtremo evulſis dentibus, præciſiſque manuum ac pedum digitis, vitam finivit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Χαριτίνης.

Ἡ Μάρτυς τοῦ Χριστοῦ Χαριτίνη, ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, καὶ Δομετίου κόμητος, δούλη οὖσα Κλαυδίου τινός, Περὶ ἧς ὁ κόμης ἀκούσας, γράφει τῷ κυρίῳ αὐτῆς ἀποστεῖλαι πρὸς αὐτὸν αὐτὴν εἰς ἐξέτασιν ὡς Χριστιανὴν ὑπάρχουσαν. Ὁ δὲ κύριος αὐτῆς λυπηθεὶς, σάκκον ἐνδυσάμενος ἐθρήνει αὐτήν. Ἡ δὲ παρεμυθεῖτο αὐτὸν, λέγουσα· μὴ λυποῦ κύριέ μου. Τὰ γὰρ λείψανά μου, ὑπὲρ τῶν ἐμῶν, καὶ τῶν σῶν παραπτωμάτων δίδωμι. Ὁ δὲ εἶπεν· μέμνησό μου ἐπὶ τοῦ ἐπουρανίου βασιλέως. Τότε ἀπεστάλη τῷ Κόμητι· καὶ Χριστιανὴν ἑαυτὴν ὁμολογήσασα, ξυρίζεται τὴν κεφαλὴν· καὶ ζέουσαν ἀνθρακίαν καταπάσσεται, Εἶτα δεσμεῖται λιθοβαρεῖ, καὶ ῥιπτεῖται ἐν τῇ θαλάσσῃ. Καὶ ἐδέξατο τὸ ὕδωρ εἰς βάπτισμα· καὶ ἐξελθοῦσα, ἐνεφανίσθη τῷ κόμητι. Καὶ ἰδόντες αὐτὴν οἱ περιεστῶτες, ἐθαύμασαν. Τότε τοὺς ὀδόντας ἐκριζωθεῖσα, καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν τοὺς δακτύλους ἀποκοπεῖσα, ἐτελειώθη.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ϛʹ.

Ἄθλησις τοῦ ἁγίου Ἀποστόλου Θωμᾶ.

Μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἕκαστος τῶν ἁγίων Ἀποστόλων ἀπελθὼν εἰς τὴν λαχοῦσαν αὐτῷ χώραν, ἐδίδασκεν. Ἔλαχε δὲ καὶ τῷ ἁγίῳ Θωμᾷ ἡ τῶν Ἰνδῶν χώρα. Καὶ ἀπελθὼν ἐν αὐτῇ, ἐκήρυττε τὸν Χριστόν. Πιστευσάσης δὲ διὰ τοῦ λόγου αὐτοῦ τῆς γυναικὸς τοῦ βασιλέως τῶν Ἰνδῶν, μετὰ τοῦ υἱοῦ αὐτῆς, τῷ Χριστῷ, διεγνώσθη ὁ Θωμᾶς, καὶ τῇ τοῦ βασιλέως προστάξει, ἀπεκλείσθη εἰς φυλακὴν, μετὰ καὶ ἑτέρων δεσμωτῶν. Δόντες δὲ χρήματα τοῖς στρατιώταις ὁ υἱὸς τοῦ βασιλέως, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ ἄλλοι οὐκ ὀλίγοι, εἰσῆλθον πρὸς αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἐβαπτίσθησαν. Καὶ μετὰ χρόνον ἱκανὸν ἐξ αὐτῶν ἐχειροτονήθησαν Πρεσβύτεροι, καὶ Διάκονοι. Καὶ ἐδίδασκον ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ. Καὶ γνοὺς τοῦτο ὁ βασιλεὺς καὶ ὀργισθεὶς, ἐξήγαγε τὸν Ἀπόστολον τῆς φυλακῆς, καὶ παραδοὺς αὐτὸν στρατιώταις, προσέταξεν ἀποκτεῖναι. Ἀναγαγόντες οὖν εἰς τὸ ὄρος τὸν ἅγιον, μετὰ τῶν κονταρίων πλήξαντες, ἀπέκτειναν.

EODEM MENSE

Die Sexta. 6.

Certamen Sancti Thomæ Apoſtoli.

POST Domini Noſtri Jeſu Chriſti Aſcenſionem, cùm Apoſtolorum ſinguli in eam, quæ ſorte ſibi obvenerat, regionem profecti, docerent, obtigit ſancto Thomæ Indorum regio, ubi Chriſtum prædicavit. Cùm autem ad Chriſti fidem uxorem regis Indorum ejuſque filium convertiſſet, defertur ad regem, qui Thomam in carcerem cum aliis vinctis detrudi juſſit. Corruptis autem pecunia militibus, Regis filius cum matre, atque aliis non paucis, carcerem ingreſſi, ab eo baptizati ſunt; & poſt idoneum tempus ordinati fuere ex his Presbyteri, & Diaconi, qui in nomine Chriſti docebant. Quod ubi Rex intellexit, iratus, eductum è carcere Apoſtolum, & militibus traditum, juſſit occidi. Abductum itaque ſanctum in montem, lancea tranſverberantes, interfecerunt. S. Thomas Apoſtolus.

Τῇ

N Eo-



Eodem die

Commemoratio Sancti Patris noſtri Nicetæ Confeſſoris.

S. Nicetas Confeſſor.

SAnctus Pater noſter, Chriſtique Confeſſor Nicetas, Irenes Auguſtæ propinquus, ei non tàm ob propinquitatem, quàm ob ſuam virtutem acceptus erat. Sic enim in certaminibus, ac virtutum exercitationibus excelluit, ut ad ſanctam Nicænam ſecundam Synodum, Imperatricis Legatus, miſſus fuerit: quo in munere egregiè, & inſigniter, ut Deo placitum eſt, ſe geſſit. Erat enim ad omnia præclarè gerenda maximè idoneus. Quare Patriciatus honore cumulatus, Siciliæ Strategus declaratur: qua etiam provincia optimè adminiſtrata, multa præcipuè erga viduas, & pupillos benignitate uſus, domum rediit. Verùm quia imperio potitus erat Leo Armenus Iconomachus, remiſſo dignitati, divitiis, omnique mundanæ gloriæ nuncio, monachus efficitur. Quod cùm Imperator reſciviſſet, volens illum tormentis ſubjicere, imperavit, ut Servatoris imaginem mitteret, quo illam combureret. Sed cùm id facere detrectaret, illum relegavit: qui in exilio multis confectus ærumnis, deceſſit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Νικήτα τοῦ ὁμολογητοῦ.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Νικήτας καὶ ὁμολογητὴς τοῦ Χριστοῦ, ὑπῆρχε συγγενὴς Εἰρήνης τῆς βασιλίσσης, ἥτις προσελάβετο αὐτὸν, οὐ διὰ τὴν συγγένειαν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ. Οὕτως γὰρ ἠγωνίσατο, καὶ ἐγένετο ἐνάρετος, ὡς καὶ ἐν τῇ κατὰ Νίκαιαν ἱερᾷ συνόδῳ τὸ δεύτερον, ἐκ προσώπου τῆς δεσποίνης ἐξαποσταλῆναι, καὶ θεαρέστως ἐν αὐτῇ διαπρέψαι. Ἔχων δὲ πολλὴν ἱκανότητα, τιμηθεὶς πατρίκιος, προεχειρίσθη στρατηγὸς Σικελίας. Καὶ καλῶς ἐν αὐτῇ πράξας, καὶ χήρας καὶ ὀρφανοὺς ἐλεήσας, ὑπέστρεψεν. Εὑρὼν δὲ κρατήσαντα τῆς βασιλείας τὸν εἰκονομάχον Λέοντα τὸν Ἀρμένιον, καταλιπὼν ἀξίωμα, πλοῦτον καὶ πᾶσαν δόξαν τοῦ κόσμου γέγονε μοναχός. Καὶ μαθὼν περὶ αὐτοῦ ὁ βασιλεὺς, καὶ θέλων αὐτὸν τιμωρήσασθαι, ἐμήνυσεν αὐτῷ, ἀποστείλας τὴν εἰκόνα τοῦ σωτῆρος, ὅπως κατακαύσῃ αὐτήν. Μὴ πεισθέντα δὲ τοῦτο ποιῆσαι, ἐξώρισε, καὶ ἐν τῇ ἐξορίᾳ πολλὰ πειρασθεὶς, ἐτελειώθη.



95

ΜΗΝΙ' ΤΩ͂ Α'ΥΤΩ͂

Ζ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Σεργίου, καὶ Βάκχου.

ΣΕ'ργιος καὶ Βάκχος οἱ ἔνδοξοι τοῦ Χριστοῦ Μάρτυρες, ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ὡραῖοι τὸ εἶδος, καὶ τῷ βασιλεῖ περίβλεπτοι. Ὁ μὲν Σέργιος πριμικήριος· ὁ δὲ Βάκχος δεύτερος αὐτοῦ. Ἀμφότεροι δὲ εὐλαβεῖς, καὶ σεβόμενοι τὸν Χριστόν. Διὰ τοῦτο καὶ διαβληθέντες τῷ βασιλεῖ, ἠναγκάζοντο θῦσαι τοῖς εἰδώλοις. Καὶ μὴ καταδεξάμενοι, πρῶτον μὲν ἀφῃρέθησαν τῶν ἀξιωμάτων αὐτῶν, καὶ τῶν μανιακίων. Καὶ τὴν ἀνδρικὴν ἐκδυθέντες στολὴν, ἐνεδύθησαν ἱμάτια γυναικεῖα δημευόμενοι μέσον τῆς πόλεως. Ἔπειτα ἐπέμφθησαν πρὸς τὸν τῆς Αὐγουστουπόλεως Ἄρχοντα, ἐπὶ τῷ παρ' ἐκείνου τιμωρηθῆναι. Κατὰ δὲ τὴν ὁδὸν περιεπάτει ἔμπροσθεν αὐτῶν Ἄγγελος τοῦ Θεοῦ, ὁδηγῶν αὐτούς. Εἶτα παραστάντες τῷ Ἄρχοντι, πρῶτος ὁ Βάκχος ἀγωνισάμενος ἐν αὐταῖς ταῖς βασάνοις ἀπέθανεν. Ὁ δὲ Σέργιος ὑποδήμασι σιδηροῖς μετὰ ἥλων ὀξέων τοὺς πόδας καθηλωθεὶς, καὶ τρέχειν ἀναγκασθεὶς, ξίφει ἐτελειώθη.

EODEM MENSE

Die Septima. 7.

Certamen Sanctorum Martyrum Sergii, & Bacchi.

SErgius, & Bacchus, glorioſi Chriſti Martyres, Maximiano Imperatore, claruere, egregia corporis forma præditi, & ſpectabili apud eundem Imperatorem loco. Sergius enim Primicerius erat, & Bacchus ab ipſo ſecundus: uterque autem pius, & Chriſtum colens. Quamobrem delati ad Imperatorem, idolis ſacrificare compelluntur. Sed cùm ad id adduci nequirent, primum quidem dignitate, torque, & virili toga ſpoliantur: deinde muliebri ſtola induti, perque urbem circumducti, mittuntur ad Auguſtopoleos Præfectum, ut ab eo torquerentur. In itinere verò præibat illis Angelus Dei. Perducti igitur ad Præfectum, Bacchus prior certamine inito, in ipſis tormentis mortuus eſt: deinde Sergius calceamentis ferreis, quæ ad pedes acutis clavis affixa erant, indutus, & currere coactus, gladio vitam finivit.

SS. Sergius, & Bacchus MM.



Eodem die

Certamen Sanctę Martyris Pelagiæ.

S. Pelagia Martyr.

PElagia Martyr ex urbe Tarſo fuit temporibus Diocletiani Imperatoris. Cùm autem Clinus Epiſcopus multos ex Græcis baptizaret, ipſa vidit per quietem Epiſcopum ſe ad Baptiſmum adhortantem. Quare petita à matre venia, ut nutricem ſibi convenire liceret, adiit Epiſcopum, & baptizata eſt: traditaque poſt baptiſmum ſua, quam Epiſcopus in pauperes erogaret, maximi pretii ſtola, rediit ad matrem, quæ filiam in vili ac ſordida veſte conſpicata, ea nequaquam admiſſa, in fletum erupit, & properans, filio Diocletiani, qui ſibi Pelagiam deſponderat uxorem, indicavit illam ad Chriſtianorum ſacra tranſiiſſe. Quod cùm audiſſet adoleſcens, dolore perculſus, ſibi manum intulit. Quamobrem Diocletianus ejus pater, ira adverſus Sanctam accenſus, correptam juſſit bovi æneo ſubjecto igne includi, & cremari.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Πελαγίας.

Πελαγία ἡ Μάρτυς, ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ τῆς πόλεως Ταρσοῦ. Κλίνου δὲ τοῦ Ἐπισκόπου πολλοὺς τῶν Ἑλλήνων βαπτίζοντος, ἡ ἁγία Πελαγία ὁρᾷ κατ' ὄναρ χαρακτῆρα τοῦ Ἐπισκόπου παρακαλοῦντα αὐτὴν πρὸς τὸ βάπτισμα. Καὶ αἰτήσασα τὴν μητέρα, ὡς δὴ πρὸς τὴν τροφὸν ἀπελθεῖν, ἀπῆλθε πρὸς τὸν Ἐπίσκοπον, καὶ ἐβαπτίσθη. Καὶ μετὰ τὸ βαπτισθῆναι, δέδωκε τῷ Ἐπισκόπῳ τὴν πολύτιμον αὐτῆς στολὴν δοῦναι τοῖς πτωχοῖς. Μετὰ ταῦτα ἀπελθοῦσα πρὸς τὴν μητέρα, οὐκ ἐδέχθη παρ' αὐτῆς. Ἀλλ' ἰδοῦσα αὐτῆς τὴν ταπεινὴν στολήν, ἔκλαιε, καὶ δραμοῦσα, ἀνήγγειλε τῷ υἱῷ Διοκλητιανοῦ, τῷ θέλοντι αὐτὴν εἰς γυναῖκα, εἰποῦσα, ὅτι γέγονε Χριστιανὴ ἡ Πελαγία. Ὁ δὲ ἀκούσας, καὶ λυπηθεὶς, τῷ ἰδίῳ ξίφει ἑαυτὸν ἀνεῖλεν. Ὀργισθεὶς δὲ ὁ πατὴρ αὐτοῦ Διοκλητιανὸς κατὰ τῆς ἁγίας, καὶ κρατήσας αὐτὴν, ἐνέβαλεν εἰς χαλκοῦν βοῦν ἐκπυρωθέντα, καὶ ἔκαυσε.



ΜΗΝΙ' ΤΩ͂Ι Α'ΥΤΩ͂Ι

Η'.

Μνήμη ἑτέρας ἁγίας Πελαγίας τῆς παρθένου, τῆς ἐν Ἀντιοχείᾳ.

Ἡ Ἁγία Πελαγία, ὑπῆρχεν ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως ἀπὸ Ἀντιοχείας τῆς Συρίας, γένους ἐνδόξου. Μαθὼν δὲ ὁ Ἄρχων τῆς πόλεως, ὅτι Χριστιανή ἐστιν, ἀπέστειλε στρατιώτας τοῦ κρατῆσαι αὐτήν. Οἱ δὲ ἀπελθόντες περιεκύκλωσαν τὸν οἶκον αὐτῆς, βουλόμενοι τοῦ ἁρπάσαι αὐτήν. Μαθοῦσα δὲ τοῦτο ἡ ἁγία, παρεκάλεσε, μικρὸν περιμεῖναι, ἕως ἂν ἐνδυσαμένη κατέλθῃ. Τῶν δὲ πεισθέντων ἐπὶ τῇ ὑποσχέσει, ἐκείνη σταθεῖσα πρὸς ἀνατολὰς ἐν τῷ τόπῳ, ἐν ᾧ εἴωθε προσεύχεσθαι, ἀνατείνασα τὰς χεῖρας, καὶ τοὺς ὀφθαλμοὺς ἄρασα εἰς τὸν οὐρανὸν, προσηύξατο ἐπιπολὺ πρὸς τὸν Θεὸν, μὴ παραδοθῆναι τοῖς στρατιώταις, ἀλλὰ πρὸ τοῦ κρατηθῆναι, πρὸς αὐτὸν ἀπελθεῖν ἁγνὴ καὶ καθαρά. Καὶ ταῦτα εἰποῦσα, καὶ σεμνῶς περιστείλασα ἑαυτὴν, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. Μαθὼν δὲ ταῦτα ὁ Ἄρχων μετὰ τῶν σὺν αὐτῷ, ἐξεπλάγη, καὶ ἐθαύμασεν.

Τῇ

EODEM MENSE

Die Octava. 8.

Commemoratio alterius Sanctæ Pelagiæ Virginis Antiochenæ.

Sancta Pelagia, Numeriano imperante, in urbe Syriæ Antiochia ſummo loco nata eſt: S. Pelagia Antiochena. quam ubi urbis Præfectus Chriſtianam eſſe didicit, mittit milites, qui eam comprehenderent. Cùm igitur milites abiiſſent, & domum ejus circumquaque obſediſſent, ut illam raperent; id Sancta conſpicata, rogavit, ut paululum expectarent, donec veſtibus induta deſcenderet. Illis verò annuentibus, Pelagia erecto corpore, atque ad orientem in eo, ubi orare conſueverat, locó converſa, manibus oculiſque in cœlum ſublatis, diutius precata Deum eſt, ne in militum poteſtatem veniret, ſed antequam comprehenderetur, caſta & pura ad ipſum migraret. Hæc cùm dixiſſet, ſeque ipſam honeſtè compoſuiſſet, ſpiritum Domino tradidit. Præfectus verò unà cum ſuis, ea re cognita, obſtupuit, & miratus eſt.

Eo-



Eodem die

Commemoratio Sanctæ Pelagiæ quondam meretricis.

S. Pelagia olim meretrix.

Sanctiſſimus Antiochiæ magnæ Patriarcha coëgit aliquando ſubditorum ſibi Epiſcoporum concilium ob quoddam eccleſiaſticum negotium. In eorum numero fuit & Nonnus ſanctus Epiſcopus, qui cùm populum doceret, & Pelagia meretrix cum toto ſuo ornatu præteriret, lapidibus pretioſis, margaritis, atque auro onuſta, luxurioſoque totius corporis cultu: adhæc tanta unguentorum copia perfuſa, ut aër odoris fragrantia inficeretur; ceteris Epiſcopis oculos ab ea avertentibus, ipſe ſolus intentos in eam oculos defixit: mox in lacrymas erupit, inquiens: Hanc etiam Deus, qua eſt in homines clementia, ſuſcipiet. Quare cùm Nonnus docere, uti inſtituerat, pergeret, audivit & Pelagia unà cum populo; ſicque compuncta eſt, ut & baptizaretur, & omnes divitias ſuas in pauperes erogaret. Deinde Hieroſolyma profecta, & monaſticum inſtitutum amplexa, tantam apud Deum fiduciam nacta eſt, ut & multa miracula fecerit. Atque ita migravit ad Dominum.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῆς ἁγίας Πελαγίας τῆς ἀπὸ ἑταιρίδων.

Ὁ Ἁγιώτατος Πατριάρχης τῆς μεγάλης Ἀντιοχείας προσεκαλέσατο ἐν ταῖς ἡμέραις ἐκείναις τοὺς ὑπ' αὐτὸν Ἐπισκόπους, διά τινα χρείαν ἐκκλησιαστικήν. Ἐν οἷς ἦν καὶ Νόννος ὁ ὅσιος Ἐπίσκοπος. Τούτου δὲ τοῦ Νόννου διδάσκοντος τὸν λαὸν, γυνή τις πόρνη, ὄνομα Πελαγία, διήρχετο μετὰ τοῦ ὀψικίου αὐτῆς, κοσμουμένη λίθοις, καὶ μαργαρίταις, καὶ χρυσῷ, καὶ τῇ λοιπῇ φαντασίᾳ· ὡς καὶ τὸν ἀέρα πληρωθῆναι μύρου. Τῶν ἄλλων οὖν Ἐπισκόπων ἀποστρεψάντων τοὺς ὀφθαλμοὺς, μόνος ὁ Νόννος ἔβλεπεν αὐτὴν ἀτενῶς. Εἶτα κλαύσας, εἶπεν, ὅτι ταύτην ὁ Θεὸς μέλλει προσλαβέσθαι, φιλάνθρωπος ὤν. Καὶ μετὰ τοῦτο πάλιν διδάσκοντος τοῦ Ἐπισκόπου, ἠκροᾶτο καὶ ἡ Πελαγία, μετὰ τοῦ λαοῦ. Καὶ οὕτως κατενύγη, ὡς καὶ βαπτισθῆναι, καὶ δοῦναι τοῖς πτωχοῖς πάντα τὸν πλοῦτον αὐτῆς. Εἶτα ἀπελθοῦσα εἰς Ἱεροσόλυμα, καὶ γενομένη μοναχὴ τοσαύτην ἔσχε πρὸς Θεὸν παῤῥησίαν, ὡς καὶ θαύματα πολλὰ ποιῆσαι, καὶ οὕτω τελειωθῆναι.

Digitized by Google



<table>
<tr>
<td>

ΜΗΝῚ ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι

Θ′.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἰουβεντίνου, καὶ Μαξίμου.

ΟἹ τοῦ Χριστοῦ Μάρτυρες Ἰουβεντῖνος, καὶ Μάξιμος, ὑπῆρχον ἐπὶ τῶν χρόνων Ἰουλιανοῦ τοῦ παραβάτου, ἔνοπλοι πεζοί, περιπατοῦντες ἐνώπιον αὐτοῦ, καὶ ἀγαπώμενοι παρ' αὐτοῦ διὰ τὴν ἀνδρείαν αὐτῶν. Διατρίβοντος δὲ ἐν Ἀντιοχείᾳ τῆς Συρίας, καὶ προστάξαντος μιανθῆναι τὰς πηγάς, καὶ τοὺς ποταμούς, καὶ τὰ πωλούμενα βρώματα τῷ αἵματι τῶν θυσιῶν, ὅπως οἱ γευόμενοι αὐτῶν, καὶ μὴ θέλοντες, μετέχωσι τῆς θυσίας τῶν εἰδώλων· ὁρῶντες οἱ ἅγιοι, ἐστέναζον δακρύοντες. Εἶτα καὶ ἐπὶ τραπέζης καθήμενοι, καὶ ἐσθίοντες, θερμότερον ἔκλαυσαν, καὶ εἶπον πρὸς τὸν Θεόν. Ἵνα τί, κύριε, παρέδωκας ἡμᾶς βασιλεῖ ἀποστάτῃ καὶ παρανόμῳ παρὰ πάντα τὰ ἔθνη. Ταῦτά τις τῶν ὁμοτραπέζων ἀκούσας, κατεμήνυσε τῷ Ἰουλιανῷ. Ὁ δὲ ὀργισθεὶς, εὐθέως ἀποστείλας ἤγαγε τοὺς ἁγίους ἐνώπιον αὐτοῦ. Καὶ πολλαῖς αὐτοὺς καὶ χαλεπαῖς βασάνοις πρότερον ὑποβαλών, καὶ μὴ πείσας ἀρνήσασθαι τὸν Χριστόν, ὕστερον τὰς κεφαλὰς αὐτῶν ἀπέτεμε.

</td>
<td>

EODEM MENSE


Die Nona. 9.

Certamen Sanctorum Martyrum Juventini, & Maximi.

CHriſti Martyr Juventinus, & Maximus claruere temporibus Juliani apoſtatæ, cui etiam iter facienti pedites armati præcurrere ſoliti erant, cujuſque benevolentiam ob ſuam fortitudinem ſibi conciliarant. Cùm autem in urbe Syriæ Antiochia verſarentur, imperaſſetque ille victimarum ſanguine fontes, fluvios, venaleſque cibos pollui & fœdari, ut qui ea deguſtaſſent, vel inviti, ſacrificii idolorum participes eſſent; ſibi temperare Sancti non potuerunt, quin ingemiſcerent, & lacrymarentur. Cùmque ad menſam accubuiſſent, tùm verò vehementius complorantes dixere: Cur nos, Deus, tradidiſti Imperatori apoſtatæ, & prævaricatori præ ceteris gentibus? Excepit hæc verba qui proximè aſſidebat, & detulit ad Julianum: qui ira excandeſcens, ſtatim Sanctos ad ſe perductos, multiſque ac diris tormentis excruciatos, cùm ad abnegandum Chriſtum illos inducere nequiret, capite obtruncari mandavit.

SS. Juventinus, & Maximus Martyres.

</td>
</tr>
</table>



Eodem die.

Commemoratio Sanctæ Publiæ Diaconiſſæ.

S. Publia Diaconiſſa. SAncta quoque Publia temporibus Juliani Apoſtatæ fuit, & nobili genere nata, & in Eccleſia Antiochiæ Syriæ Diaconiſſa; virtutibus quidem celebris, quæque exiguo temporis ſpatio matrimonii lege copulata, ſanctiſſimum Presbyterum Joannem genuerat: chorum autem virginum habens, hymnos Deo concinebat. Quadam autem die, cùm illius Pſalmi verba magna voce caneret: *Simulacra gentium argentum, & aurum, opera manuum hominum; ſimiles illis fiant, qui faciunt ea, & omnes qui confidunt in eis*: præteriens Julianus, idque audiens, tacere juſſit. Sed tantum abfuit, ut Publia taceret, ut majori etiam vocis contentione pſalleret. Quamobrem iratus Apoſtata, ad ſe adductæ faciem cædi à militibus mandavit. Illa verò objurgata ejus impietate, domum regreſſa, more ſuo pſallebat, & laudes Deo cum reliquis virginibus celebrabat. Demum cùm optimè vitam traduxiſſet, in pace deceſſit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῆς ὁσίας Ποπλίας τῆς Διακόνου.

ΚΑΙ' ἡ ἁγία Ποπλία ἐπὶ Ἰουλιανοῦ ὑπῆρχε τοῦ παραβάτου, εὐγενὴς μὲν οὖσα, Διάκονος δὲ τῆς ἐν Ἀντιοχείᾳ τῆς Συρίας ἐκκλησίας· καὶ περιβόητος μὲν εἰς ἀρετήν· πρὸς ὀλίγον δὲ προσομιλήσασα γάμῳ, καὶ γεννήσασα Ἰωάννην τὸν ἁγιώτατον πρεσβύτερον. Ἔχουσα δὲ χόρον παρθένων, ἐδοξολόγει τὸν Θεόν. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν μεγάλῃ τῇ φωνῇ στιχολογούσης τὸν ψαλμὸν τὸν λέγοντα. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς· διήρχετο ὁ Ἰουλιανὸς· καὶ ἀκούσας προσέταξε σιγῆσαι. Ἡ δὲ Ποπλία μᾶλλον μείζονα ἔψαλλε. Τότε ὀργισθεὶς ὁ παραβάτης, καὶ ἀγαγὼν αὐτὴν ἐνώπιον αὐτοῦ, προσέταξε τοῖς στρατιώταις τύπτειν αὐτὴν κατὰ τοῦ προσώπου. Ἡ δὲ ἁγία ἐλέγξασα τὴν ἀσέβειαν αὐτοῦ, ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς, συνήθως ψάλλουσα, καὶ δοξολογοῦσα τὸν Θεὸν, μετὰ τῶν λοιπῶν παρθένων. Εἶτα καλῶς βιώσασα, ἐν εἰρήνῃ ἐτελειώθη.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Δωροθέου Ἀρχιεπισκόπου πόλεως Τύρου.

Δωρόθεος, ὁ ἀοίδιμος ἀνὴρ, Ἐπίσκοπος γέγονε τῆς πόλεως Τύρου, πᾶσαν γραφικὴν ἐπιστάμενος ἱστορίαν. Καὶ ἦν μὲν φυγὼν διὰ τὸν διωγμόν. Μετὰ δὲ τελευτὴν Διοκλητιανοῦ, καὶ Λικιννίου, καταλαβὼν πάλιν τὴν Τύρον, διεκυβέρνα τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν, μέχρις Ἰουλιανοῦ τοῦ παραβάτου. Καὶ ἐπειδὴ οὐ φανερῶς, ἀλλὰ κρυπτῶς τὸ πρότερον διὰ τῶν Ἀρχόντων αὐτοῦ ἐφόνευεν ὁ Ἰουλιανὸς τοὺς Χριστιανούς· ἀκούσας ὁ ἅγιος Δωρόθεος, ἀνεχώρησεν ἐκ τῆς Τύρου, καὶ κατέλαβε τὴν χώραν τῆς Θράκης. Ἀλλ' οὐδ' ἐκεῖ τὸν ἐκ τῶν εἰδωλολατρῶν θάνατον διέφυγεν. Κρατηθεὶς γὰρ παρὰ τῶν Ἰουλιανοῦ Ἀρχόντων· καὶ πολλὰς τιμωρίας ὑπομείνας· καίτοι γέρων ὤν, καὶ ἑκατὸν ἑπτὰ ἐτῶν ὑπάρχων, ἐν αὐταῖς ταῖς βασάνοις, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἀπέθανε· καὶ παρέθετο τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Χριστῷ· πολλὰ καὶ ψυχωφελῆ συγγράμματα πρότερον συνθεὶς, καὶ καταλιπών.

Eodem die

Certamen Sancti Dorothei Archiepiſcopi Tyri.

Dorotheus vir celeberrimus, Epiſcopus Tyri, qui univerſas Scripturæ hiſtorias callebat, cùm perſecutionis vitandæ cauſa fugiſſet, poſt Diocletiani & Licinii mortem Tyrum rediit, & ſanctam Dei eccleſiam ad Juliani apoſtatæ tempora gubernavit. Sed cùm Julianum occultè, non palàm cædes Chriſtianorum per Præfectos ſuos perpetrate didiciſſet, Tyro diſcedens, in Thraciæ regionem ſe recepit: non tamen ibi idolatrarum manus effugere potuit. Comprehenſus enim à Juliani Præfectis, & multis ſuppliciis excruciatus, in ipſis tormentis, annos centum & ſeptem natus, pro Chriſti confeſſione obiit, & beatam Chriſto animam tradidit, multa non mediocris utilitatis ſcripta relinquens. S. Dorotheus Epiſc. Tyri.



Eodem die

Certamen Sancti Apoſtoli Jacobi Alphæi.

S. Jacobus Alphæi Apoſtolus.

JAcobus Chriſti Apoſtolus filius Alphæi, & frater Matthæi publicani & Evangeliſtæ, verbum Chriſti prædicabat, & ea quæ ad æternum illius regnum ſpectant, omnes ad ipſum accedentes, Judæos & Græcos, docebat, magnamque hominum turbam in nomine Patris, & Filii, & Spiritus ſancti baptizabat. Quod Judæi indignè ferentes, ejus interficiendi conſilium ceperunt. Quare in unum locum coacti, comprehenſum, multiſque tormentis dirè & crudeliter excruciatum, poſtremo virgis cæſum interemere; cùm interim Sanctus ad extremum ſpiritum laudes Domino noſtro Jeſu Chriſto tribueret, & gratias ſancto ejus nomini ageret, quod illius ope & cooperatione diabolum, voluntatiſque ejus miniſtros confudiſset, atque viciſſet. Et reddita hunc in modum beata anima, ſepultus fuit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου.

ΙΆκωβος ὁ τοῦ Χριστοῦ Ἀπόστολος, ὑπῆρχε μὲν υἱὸς τοῦ Ἀλφαίου· ἀδελφὸς δὲ Ματθαίου τοῦ τελώνου καὶ εὐαγγελιστοῦ. Κηρύττων δὲ τὸν λόγον τοῦ Χριστοῦ, καὶ διδάσκων τὰ περὶ τῆς αἰωνίου βασιλείας αὐτοῦ πάντας τοὺς προσερχομένους αὐτῷ, Ἰουδαίους τε καὶ Ἕλληνας, καὶ πολλοὺς βαπτίζων, διὰ τῆς διδασκαλίας αὐτοῦ, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, μὴ φέροντες οἱ Ἰουδαῖοι, βουλὴν ποιήσαντες, καὶ ἐπισυναχθέντες, καὶ κρατήσαντες αὐτὸν, καὶ πολλὰ τιμωρήσαντες ὠμῶς καὶ ἀπανθρώπως, τελευταῖον ῥάβδοις πλήξαντες ἐφόνευσαν, δοξάζοντα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μέχρι τῆς ἐσχάτης ἀναπνοῆς· καὶ εὐχαριστοῦντα τῷ ἁγίῳ αὐτοῦ ὀνόματι, τῷ βοηθήσαντι, καὶ συνεργήσαντι αὐτῷ, εἰς τὸ καταισχῦναι, καὶ νικῆσαι τὸν διάβολον, καὶ τοὺς ποιοῦντας τὰ θελήματα αὐτοῦ. Καὶ οὕτω παραδοὺς τὴν μακαρίαν αὐτοῦ ψυχὴν, ἐτάφη.

Digitized by Google



<table>
<tr>
<td>

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Ι.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Εὐλαμπίου, καὶ Εὐλαμπίας.

Εὐλάμπιος ὁ Μάρτυς τοῦ Χριστοῦ, καὶ Εὐλαμπία ἡ αὐτοῦ ἀδελφὴ, ὑπῆρχον ἐκ τῆς πόλεως Νικομηδείας, ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ· διὰ δὲ τὸν διωγμὸν κατεκρύπτοντο, μετὰ καὶ ἄλλων πολλῶν Χριστιανῶν ἐν τῷ ὄρει. Κατελθὼν δὲ ὁ Εὐλάμπιος εἰς τὴν πόλιν πρὸς τὸ ἀγοράσαι τροφὰς· καὶ ἰδὼν γράμματα προτεθειμένα εἰς τὴν ἀγορὰν τῶν βασιλικῶν διατάξεων· καὶ ταῦτα σταθεὶς καὶ ἀναγινώσκων, ἐκρατήθη παρὰ τῶν εἰδωλολατρῶν, καὶ παρέστη τῷ βασιλεῖ. Καὶ ἀναγκασθεὶς εἰσελθεῖν εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ θῦσαι, εἰσελθὼν προσηύξατο τῷ Χριστῷ· καὶ πεσόντα τὰ εἴδωλα συνετρίβησαν. Βασανιζομένου δὲ αὐτοῦ διὰ τοῦτο, μαθοῦσα ἡ ἀδελφὴ αὐτοῦ Εὐλαμπία τὸ γινόμενον, κατῆλθεν ἐκ τοῦ ὄρους, καὶ περιεπλάκη τῷ ἀδελφῷ μέσον τοῦ ὄχλου, καὶ συνηγωνίζετο αὐτῷ. ὅθεν ἐμβληθέντες εἰς λέβητα κοχλάζοντα, ἐξῆλθον ἀβλαβεῖς. Καὶ ἰδόντες τὸ θαῦμα διακόσιοι στρατιῶται, ἐπίστευσαν τῷ Χριστῷ, καὶ σὺν αὐτοῖς ἀπεκεφαλίσθησαν.

Τῇ

</td>
<td>

EODEM MENSE

Die Decima. 10.

Certamen Sanctorum Martyrum Eulampii, & Eulampiæ.

EUlampius Chriſti Martyr, & Eulampia ejus ſoror, Nicomedienſes, Maximiano Imperatore, ut perſecutionem devitarent, in montem ſe cum multis aliis Chriſtianis abdidere. Profectus verò Eulampius in urbem ad annonam emendam, cùm propoſita in foro imperatoria edicta vidiſſet, & legeret, comprehenſus ab idolorum cultoribus, ſiſtitur Imperatori; & pertractus in idolorum templum, ut immolaret, precatus eſt Chriſtum: collapſiſque ad terram, & contritis idolis, torqueri cœpit. Quod ubi cognovit Eulampia ſoror, deſcendit de monte, & in media turba fratrem complexa, ſociam ſe certaminis illi adjunxit. In ferventem igitur cacabum ambo conjecti, & incolumes egreſſi, miraculo rei ducentos milites ad Chriſti fidem traxere, cum quibus capite plexi ſunt.

SS. Eulampius, & Eulampia Martyres.

O 2 Eo-

</td>
</tr>
</table>



Eodem die

Commemoratio Sancti Patris noſtri Baſſiani.

S. Baſſianus Syrus. SAnctus Pater noſter Baſſianus, ex orientali Syrorum regione oriundus, Marciano pio Imperatore, Conſtantinopolim profectus, ob virtutem ſuam Imperatori ſtatim innotuit, qui non modò eum tamquam patrem colebat, ſed & ædes illius nomine, quæ ad hunc uſque diem exſtant, ædificavit. Fuit enim ad docendum appoſitiſſimus, ut multis perſuaderet, relicto ſeculo monaſticam vitam agere: in quorum numero fuit Sancta Matrona: crevitque diſcipulorum ejus numerus uſque ad trecentos. Ad hæc multa miracula patravit. Præterea ſiquis in graviſſimum aliquod peccatum lapſus eſſet, & idcirco de ſua ſalute deſperaret, vir ſanctus pari cum eo dolore ſuſcepto, non prius conatu deſiſtebat, quàm lapſum è diaboli manibus ereptum, per pœnitentiam ad Deum clementiſſimum adduceret. Inſuper prophetiæ dono illuſtris, cùm futura prædiceret, multis profuit. Exacta per hunc modum vita, confectus ſenio migravit ad Dominum, & à diſcipulis ſuis in ædibus, quæ ejus nomen præferunt, ſepultus eſt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Βασσιανοῦ.

ὉὍσιος πατὴρ ἡμῶν Βασσιανὸς, ἦν ἐκ Ἀνατολῶν τῆς Σύρων χώρας. Ἐπὶ δὲ Μαρκιανοῦ τοῦ εὐσεβοῦς βασιλέως εἰσῆλθεν ἐν Κωνσταντινουπόλει. Καὶ διὰ τὴν ἀρετὴν αὐτοῦ γνωρίσας αὐτὸν ὁ βασιλεὺς, ἐτίμα αὐτὸν, ὡς πατέρα, τοσοῦτον, ὅτι καὶ τὸν ναὸν ἔκτισεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, ὅς τις μέχρι τῆς σήμερον ὑπάρχει. Τοιοῦτος δὲ ἦν ψυχοφελὴς καὶ διδακτικὸς, ὡς πολλοὺς πείθειν τὸν κόσμον καταλιμπάνειν καὶ μοναχοὺς γίνεσθαι. Ἐξ ὧν ἦν καὶ ἡ ἁγία Ματρῶνα. Ἐπληθύνθη γὰρ ὁ ἀριθμὸς τῶν μαθητῶν αὐτοῦ μέχρι τριακοσίων. Ἀλλὰ καὶ θαύματα πολλὰ ἐποίησε· καὶ τοὺς εἰς παραπτώματα περιπεσόντας μεγάλα, καὶ εἰς ἀπόγνωσιν ἐρχομένους, συμπαθὴς ὤν, τῶν τοῦ διαβόλου χειρῶν ἐλυτροῦτο, καὶ διὰ μετανοίας προσέφερε τῷ φιλανθρώπῳ Θεῷ. Ἦν δὲ καὶ προορατικὸς, καὶ προλέγων τὰ μέλλοντα, ὠφέλει πολλούς. Οὕτω δὲ βιώσας, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησε, καὶ ἐτάφη παρὰ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ δηλωθέντι αὐτοῦ ναῷ.



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰακώβου τοῦ Ἀσκητοῦ.

Ὅσιος πατὴρ ἡμῶν Ἰάκωβος ἐν Ἀσκηταῖς μέγας ἐγένετο· νικήσας μὲν τὸν διάβολον, καὶ νικηθεὶς ὑπ' αὐτοῦ, καὶ περιπεσὼν, ἀλλὰ πάλιν νικήσας αὐτὸν γενναιότερον. Οἰκήσας γὰρ ἐν σπηλαίῳ, καὶ ἡσυχάσας ἔτη δεκαπέντε, ἔλαβε παρὰ Θεοῦ ἐξουσίαν τοῦ διώκειν τοὺς δαίμονας. Θέλων δὲ αὐτὸν ὁ διάβολος ῥίψαι εἰς πορνείαν καὶ φόνον, εἰσῆλθεν εἰς θυγατέρα πλουσίου τινός· καὶ παρεσκεύασεν αὐτὴν ἐπικαλεῖσθαι τὸν ἅγιον. Ἐρευνήσαντες οὖν οἱ γονεῖς τῆς κόρης, καὶ εὑρόντες τὸ σπήλαιον, ἀπήγαγον αὐτὴν πρὸς αὐτὸν, καὶ παρεκάλεσαν θεραπεῦσαι· ὁ δὲ εὐξάμενος, ἐξήλασεν ἐκ τῆς κόρης τὸν δαίμονα. Καὶ φοβηθέντες οἱ γονεῖς αὐτῆς, μήπως εἰσέλθῃ πάλιν εἰς αὐτὴν ὁ δαίμων, ἀφῆκαν ἐκεῖ, ἕως οὗ τελείως ὑγιάνῃ. Ἔφθειρεν οὖν τὴν κόρην ὁ ἀσκητής· εἶτα ἐφόνευσε· καὶ φοβηθεὶς, ἔφυγε. Καὶ κατὰ τὴν ὁδὸν μεταμεληθεὶς, εἰσῆλθεν εἰς τάφον κλαίων· καὶ τοσοῦτον ἐκαθαρίσθη τῆς ἁμαρτίας, ὡς ἐν ἀβροχίᾳ διὰ εὐχῆς ὑετὸν καταγαγεῖν· καὶ οὕτω τελειωθῆναι.

Eodem die

Commemoratio Sancti Patris noſtri Jacobi Aſcetæ.

SAnctus Pater noſter Jacobus magnus Aſceta, cùm ſæpe victoriam de diabolo retuliſſet, victus & ipſe aliquando, tamen iterum cum eo congreſſus, ſuperior è prælio diſceſſit. Nam cùm in ſpelunca annos quindecim tranquillè egiſſet, dataque ipſi eſſet à Deo ſugandorum dæmonum poteſtas, commotus invidia dæmon, ſanctum virum in ſtuprum, & homicidium pellexit. Ingreſſus enim cujuſdam divitis filiam, ſuggeſſit, ut Jacobum imploraret. Perſcrutati igitur parentes puellæ ſpeluncam, ductam ad Sanctum filiam, rogarunt, ut liberaret: qui adhibita prece, propulit ab ea dæmonem. Parentes verò veriti, ne iterum à dæmonio corriperetur, ibi eam reliquerunt, quoad libera omninò redderetur. At Aſceta vitiavit puellam, & occidit. Quare timore perculſus, in fugam ſe conjecit. Sed in via pœnitentia ductus, effuſuſque in lacrymas, in ſepulcrum ſe abdidit: ubi peccatum ſic expiavit, ut in magna ſiccitate imbrem de cœlo impetraverit. Atque ita finem vivendi fecit. S. Jacobus Aſceta.



EODEM MENSE | ΜΗΝΙ Τῼ͂ ΑΥΤῼ͂

11. Die Undecima. | ΙΑ'.

Commemoratio Sanctarum Zenais, & Philonillæ ſororum.

SS. Zenais, & Philonilla ſorores.

SAncta Zenais cum ſorore Philonilla, ex urbe Tarſo fuit, ſanguinis propinquitate Sancto Apoſtolo Paulo conjuncta. Et primum quidem medicinam profeſſa, deinde ab ipſo Apoſtolo fide Chriſti imbuta, valedixit arti, divitiis, & ſorori; atque in remoto montis antro ſolitariam vitam agens, ſoli Deo, ſibique vacabat, herbis tantùm, quas prope ſpeluncam tellus ipſa ferebat, famem ſuſtentans: ad quas legendas aliquando egreſſa, preſſit imprudens acutiſſimum clavum ligneum, diaboli opera humi defixum, indigniſſimè ferentis, quod multi occultè ad eam ventitantes, ad Chriſti fidem traducerentur. Quæ cùm dolori impar conſediſſet, ut è pede clavum tolleret, ſpiritum Domino tradidit. Philonilla autem domi conſiſtens, cùm non minori, quàm ſoror, ſtudio ad virtutem contendiſſet, magnoque ſemper cultu Deum proſecuta eſſet, in pace obdormivit.

Eo-

Μνήμη τῶν ἁγίων Ζηναΐδος, καὶ Φιλονίλλης τῆς ἀδελφῆς αὐτῆς.

Ἡ Ὁσία Ζηναΐς μετὰ τῆς ἀδελφῆς αὐτῆς Φιλονίλλης, ὑπῆρχεν μὲν ἐκ τῆς πόλεως Ταρσοῦ, συγγενὴς οὖσα τοῦ ἁγίου Ἀποστόλου Παύλου. Μετήρχετο δὲ τὴν ἰατρικὴν τέχνην. Ἀλλὰ μαθητευθεῖσα ὑπ' αὐτοῦ, κατέλιπε καὶ τὴν τέχνην, καὶ πάντα τὸν πλοῦτον αὐτῆς, καὶ τὴν ἀδελφήν. Καὶ ἀνῆλθεν εἰς τὸ ὄρος καὶ εὑροῦσα σπήλαιον, εἰσῆλθεν ἐν αὐτῷ, καὶ ἡσύχασε, τῷ Θεῷ μόνῳ, καὶ ἑαυτῇ προσέχουσα, καὶ τρεφομένη ἐκ τῶν παραφυομένων τῷ σπηλαίῳ βοτανῶν. Ἐν μιᾷ δὲ τῶν ἡμερῶν ἐξελθοῦσα τοῦ σπηλαίου πρὸς τὸ συναγαγεῖν βοτάνας, ἐπάτησεν ἧλον ξύλου ὀξύτατον ὑπὸ τῆς τοῦ διαβόλου συνεργίας, μὴ φέροντος βλέπειν τοὺς καθεκάστην πρὸς αὐτὴν ἐρχομένους κρύφα, καὶ πιστεύοντας δι' αὐτῆς τῷ Χριστῷ. Καὶ περιαλγὴς γενομένη, καὶ καθίσασα ἐκβαλεῖν τὸν ἧλον, παρέδωκε τὸ πνεῦμα τῷ Κυρίῳ. Ἡ δὲ Φιλονίλλα ἐν τῷ οἴκῳ μὲν καθεζομένη, μηδὲν δὲ τῆς ἀδελφῆς εἰς ἀρετὴν ἀπολειφθεῖσα, ἀλλὰ τὸν Θεὸν πολλὰ θεραπεύσασα, ἐν εἰρήνῃ ἐκοιμήθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ἁγίου Ἀποστόλου Φιλίππου, τοῦ ἐν ταῖς πράξεσι τῶν ἁγίων Ἀποστόλων.

Φίλιππος ὁ τοῦ Χριστοῦ Ἀπόστολος, ὑπῆρχε μὲν εἰς τῶν ἑπτὰ Διακόνων. Ἦν δὲ ἐν τῇ πόλει Ἰόππῃ κηρύττων τὸν Χριστόν. Τῇ δὲ παρακελεύσει τοῦ ἁγίου Πνεύματος, πορευόμενος ἀπὸ τῆς Ἰόππης πρὸς Γάζαν τὴν πόλιν, συνήντησε τῷ τῆς βασιλίσσης τῶν Αἰθιόπων δυνάστῃ, εὐνούχῳ μὲν ὑπάρχοντι, Κανδάκῃ δὲ λεγομένῳ, ἐπὶ ἅρματος ἵππων καθεζομένῳ, καὶ ἀναγινώσκοντι τὸν προφήτην Ἡσαΐαν· καὶ προσελθὼν, ἠρώτησεν αὐτόν. Ἆρα γινώσκεις, ἃ ἀναγινώσκεις; ὁ δὲ εἶπε. Πῶς ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με. Καὶ εὐθέως ἀνεβίβασεν αὐτὸν ἐπὶ τοῦ ἅρματος, καὶ διηρμήνευσεν αὐτῷ ἅπερ ἀνεγίνωσκε, καὶ ὡδήγησεν αὐτὸν εἰς τὴν τοῦ Χριστοῦ πίστιν. Καὶ εὑρόντες ὕδωρ, λέγει ὁ εὐνοῦχος τῷ Φιλίππῳ· ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; καὶ καταβὰς ἀπὸ τοῦ ἅρματος ἐβαπτίσθη. Τὸν δὲ Φίλιππον οὐκ ἔτι εἶδεν· ἡρπάγη γάρ· ἀλλ' ἀπορεύετο τὴν ὁδὸν αὐτοῦ χαίρων. Μετὰ ταῦτα ὁ Φίλιππος ἐν Θράλλῃ τῆς Ἀσίας Ἐπίσκοπος γενόμενος, ἐτελειώθη.

Eodem die

Commemoratio Sancti Apoſtoli Philippi, de quo fit mentio in Actibus Sanctorum Apoſtolorum.

PHilippus Chriſti Apoſtolus ex ſeptem Diaconorum numero, cùm in urbe Joppe Chriſtum prædicaret, juſſus eſt à Spiritu Sancto Gazam petere: quo in itinere obviam factus Candaci Eunucho, Reginæ Æthiopum Præfecto, quadrigæ inſidenti, Prophetamque Iſaiam legenti, accedens propius, quæſivit, num quæ legeret intelligeret. Cui ille: Quî poſſum, inquit, aſſequi ſine duce, & ſine interprete? Elatuſque in currum Philippus, illo quem Eunuchus legebat, loco expoſito, fide Chriſti eum inſtituit. Cùmque ad aquam veniſſent, ait Philippo Eunuchus: Ecce aqua: quid prohibet me baptizari? Deſiliens itaque ex curru, baptizatus eſt, neque amplius vidit Philippum: raptus enim fuit: ſed reliquum iter lætus conficere perrexit. Philippus verò Tbrallis in Aſia Epiſcopus factus, vivere deſiit. S. Philippus Apoſtolus.



EODEM MENSE

12. Die Duodecima.

Commemoratio ſanctæ ſeptimæ Synodi trecentorum ſexaginta ſeptem Sanctorum Patrum.

Commemoratio ſeptimæ Synodi.

SAncta ſeptima œcumenica Synodus Nicææ ſecundo habita eſt Conſtanrino & Irene ejus matre imperantibus, & Taraſio ſanctiſſimo, ac divino Patre noſtro Parriarcha Conſtanrinopolirano. Cùm autem ſancti Patres numero trecenti ſexaginta ſeptem, juſſu Imperaroris, adverſus Iconomachos conveniſſent, conſcripto anarhemate, quo omnes hæreſes & hæreſiarchas, ſimulque Iconomachos damnarunt, omnes uno ore conclamavere: Quiſquis ſacras Imagines non colit, alienus eſt ab orthodoxorum fide: honor autem, qui Imagini habetur, in prototypon, ut ait magnus Baſilius, recidir: qui adorat & honorar Imaginem, adorat in ea & honorat ejus, quem imago refert, hypoſtaſim. Quæ cùm decreviſſent, orthodoxamque ſidem ſcripto firmaſſenr, arque honorificè accepti ab Imperarore eſſent, in ſuum quiſque epiſcopatum ſeſe recepit.

Eo-


ΜΗΝΙ Τῼ ΑΥΤῼ

ΙΒʹ.

Ἡ ἀνάμνησις τῆς ἁγίας ἑβδόμης Συνόδου τῶν ΤΞΖʹ. ἁγίων πατέρων.

ἩἉγία ἑβδόμη καὶ οἰκουμενικὴ σύνοδος ἐγένετο ἐν Νικαίᾳ τὸ δεύτερον, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου καὶ Εἰρήνης τῆς αὐτοῦ μητέρος· ὑπάρχοντος Πατριάρχου Κωνσταντινουπόλεως Ταρασίου τοῦ ἁγιωτάτου, καὶ θεοφόρου πατρὸς ἡμῶν. Ὄντες δὲ οἱ ἅγιοι πατέρες τὸν ἀριθμὸν τριακόσιοι ἑξηκονταεπτὰ, συνῆλθον κελεύσει τοῦ βασιλέως κατὰ τῶν Εἰκονομάχων. Καὶ ἀνεθεμάτισαν ἐγγράφως πᾶσαν αἵρεσιν, καὶ τοὺς τῶν αἱρέσεων ἀρχηγούς· εἶτα καὶ τοὺς Εἰκονομάχους ἅπαντας· πάντες ὁμοφρόνως εἰπόντες· ὅτι ὁ τὰς ἁγίας εἰκόνας μὴ προσκυνῶν, ἀλλότριός ἐστι τῆς τῶν ὀρθοδόξων πίστεως· καὶ ὅτι ἡ εἰκόνος τιμὴ, ὡς ὁ μέγας ἔφησε Βασίλειος, ἐπὶ τὸ πρωτότυπον διαβαίνει. Ὁ γὰρ προσκυνῶν τὴν εἰκόνα καὶ τιμῶν, προσκυνεῖ ἐν αὐτῇ καὶ τιμᾷ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. Καὶ οὕτω διαταξάμενοι, καὶ τὴν ὀρθόδοξον πίστιν ἐγγράφως βεβαιώσαντες, καὶ παρὰ τοῦ βασιλέως τιμηθέντες, ἕκαστος εἰς τὴν ἑαυτοῦ ἐπισκοπὴν ἀπελύθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Πρόβου, Ταράχου, καὶ Ἀνδρονίκου.

ΟἹ τρεῖς πολύαθλοι Μάρτυρες, Πρόβος, Τάραχος, καὶ Ἀνδρόνικος, ὑπῆρχον μὲν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Χριστιανοὶ δὲ ὄντες, καὶ τὸν Χριστὸν ὁμολογοῦντες, ἐκρατήθησαν παρὰ τοῦ τῆς Κιλικίας Ἄρχοντος. Καὶ πρῶτος μὲν συντριβεὶς τὸ πρόσωπον ὁ Τάραχος, ἀπεκλείσθη εἰς φυλακήν. Δεύτερος δὲ τυφθεὶς ὁ Πρόβος, καὶ σιδηρωδεθεὶς παρεδόθη καὶ αὐτὸς τῇ φυλακῇ. Καὶ τρίτος ὁ ἅγιος Ἀνδρόνικος τυφθεὶς, καὶ τοὺς μικροὺς ξίφει χαραχθεὶς, καὶ τὰς πλευρὰς ξεσθεὶς, καὶ μετὰ τοῦ ἅλατος ἀνατριβεὶς ἐνεβλήθη μετὰ τῶν λοιπῶν εἰς τὴν αὐτὴν φυλακήν. Εἶτα ἀπὸ Κιλικίας δεθέντες ἤχθησαν εἰς Μοψουεστίαν. Καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστὸν, πάλιν ἐβασανίσθησαν. Ὁ μὲν Τάραχος τὸ στόμα συνθλασθεὶς, καὶ τὴν κεφαλὴν ξυρισθεὶς. Ὁ δὲ Ἀνδρόνικος τὴν γαστέρα ῥάβδοις τυφθεὶς. Ὁ δὲ Πρόβος μετὰ σουβλίων πεπυρωμένων τὰς μασχάλας, καὶ τὰ ψύα κατακαεὶς. Καὶ πλείονας τύπων βασάνους ὑπομείναντες, ὕστερον ἀπεκεφαλίσθησαν.

Eodem die

Certamen Sanctorum Martyrum Probi, Tarachi, & Andronici.

PRobus, Tarachus, & Andronicus, tres pluribus inſignes certaminibus martyres, Diocletiano Imperatore, quod Chriſtiani eſſent, Chriſtumque profiterentur, comprehenſi à Ciliciæ præfecto, primus quidem Tarachus colaphis contuſus in carcerem conjicitur. Deinde Probus virgis cæſus, ferreiſque catenis conſtrictus, cuſtodiæ traditur. Tertio ſanctus Andronicus cùm vapulaſſet, ejuſque femora gladio lancinata eſſent, & latera excarnificata, ſale aſperſus, in eundem cum reliquis carcerem includitur. Poſt hæc à Cilicia Mopſveſtiam ducti, cùm à Chriſti confeſſione dimoveri non poſſent, rurſus excruciati, Tarachus quidem ore contuſo, & capite abraſo; Andronicus autem cæſo ſcipionibus ventre; Probus verò uſtulatis candentibus ſubulis axillis, lumbiſque; multis demum aliis cruciatibus omnes vexati, capite plectuntur. SS. Probus, Tarachus, & Andronicus.



Eodem die

Certamen Sanctæ Martyris Anaſtaſiæ Virginis.

S. Anaſtaſia Virgo, & Martyr.

ANaſtaſia Chriſti martyr, Decio & Valeriano Imperatoribus, ex urbe Roma fuit, monaſticam vitam cum aliis virginibus in quodam monaſterio agens. Quare ad Præfectum delata, ejus juſſu collari ferreo conſtricta ad ipſum adducitur: ad cujus conſpectum cùm ſtetiſſet, quod interrogata, Chriſti nomen confeſſa eſſet, colaphis cæditur: tùm nudata, ſubjecto igne amburitur, liquata pice, oleo, ac ſulphure ſuperinfuſis. Mox in equuleum ſublatæ oſſa omnia converſo haſtili confringuntur. Poſt hæc ambæ mamillæ ei abſcinduntur, ungues extrahuntur, utraque manus amputatur, ac dentes evelluntur. Tandem poſt multos alios cruciatus, gladio finem accepit: atque ita ſpiritum ſuum Domino tradidit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Ἀναστασίας τῆς παρθένου.

Ἡ Μάρτυς τοῦ Χριστοῦ Ἀναστασία, ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Δεκίου, καὶ Οὐαλεριανοῦ, ἐκ τῆς πόλεως Ῥώμης. Ἦν δὲ μονάζουσα, μετὰ καὶ ἑτέρων παρθένων, ἐν μοναστηρίῳ τινί. Διεβλήθη οὖν τῷ Ἄρχοντι. Ὁ δὲ ἀποστείλας, ἤγαγεν αὐτὴν πρὸς ἑαυτὸν μετὰ κλοιοῦ σιδηροῦ· καὶ σταθεῖσα ἔμπροσθεν τοῦ Ἄρχοντος, καὶ ἐρωτηθεῖσα, ὡμολόγησε τὸ ὄνομα τοῦ Χριστοῦ. Καὶ τύπτεται εἰς τὸ πρόσωπον· καὶ γυμνοῦται· καὶ ὑπὸ πυρὸς κατακαίεται· ἐπιρραινομένων ἐπάνω αὐτῆς, πίσσης, καὶ ἐλαίου, καὶ θειαφίου. Εἶτα κρεμᾶται ἐν τῷ ξύλῳ. Καὶ στρεφομένου τοῦ στυρακίου, ἔτριζον τὰ ὀστᾶ αὐτῆς. Εἶτα ἀποτέμνεται τοὺς δύο αὐτῆς μασθοὺς, καὶ τοὺς ὄνυχας ἀνασπᾶται. Καὶ μετὰ ταῦτα κόπτεται τὰς δύο χεῖρας. Εἶτα τοὺς δύο πόδας· καὶ ἐκριζοῦται τοὺς ὀδόντας· καὶ ἑτέρας τιμωρίας πολλὰς ὑπομείνασα, τελευταῖον τὸ διὰ ξίφους δέχεται τέλος. Καὶ οὕτως παρέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ.



Τῇ αὐτῇ ἡμέρᾳ


Ἄθλησις τῆς ἁγίας Μάρτυρος Δομνίνης.

Ἡ Μάρτυς τοῦ Χριστοῦ Δομνῖνα, ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ βασιλέως ἐκ τῆς Ἀναζάρβου πόλεως· ἐκρατήθη δὲ, ὡς Χριστιανὴ, παρὰ δημίων ἑλλήνων. Καὶ παρέστη τῷ κριτηρίῳ Λυσίου τοῦ δουκός. Καὶ ὁμολογήσασα μετὰ παῤῥησίας ἐνώπιον πάντων τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ Θεὸν ἀληθινὸν αὐτὸν εἰποῦσα, καὶ ποιητὴν τοῦ παντός· τοὺς δὲ τῶν ἑλλήνων θεοὺς ψευδεῖς ἀποδείξασα, καὶ λίθους καὶ ξύλα, καὶ σαθρὰν ὕλην· τύπτεται ἀνηλεῶς, καὶ μετὰ σουβλίων πεπυρωμένων τοὺς πόδας διακαίεται. Εἶτα εἰς φυλακὴν ἐμβάλλεται. Σπασα δὲ πάλιν εἰς δευτέραν ἐξέτασιν, τύπτεται μετὰ ῥαβδίων ἰσχυρῶς· καὶ ἐξαρθροῦται διὰ χειρολάβων τὰ ἄρθρα τῶν μελῶν. Καὶ πάλιν ῥίπτεται εἰς φυλακήν. Καὶ ἐν αὐτῇ οὖσα, εὐχαριστοῦσα, καὶ προσευχομένη, παρέθετο τῷ Θεῷ, ὑπὲρ οὗ καὶ ἐμαρτύρησε, τὴν μακαρίαν αὐτῆς ψυχήν. Τὸ δὲ λείψανον αὐτῆς ἐτάφη ἐντίμως.

Eodem die

Certamen Sanctæ Martyris Domninæ.

DOmnina Chriſti martyr, Diocletiano Imperatore, in urbe Anazarbo nata, quod Chriſtiana eſſet, à lictoribus Græcis comprehenſa, ſiſtitur Lyſiæ Ducis tribunali. Cùmque Domini noſtri Jeſu Chriſti nomen liberè coram omnibus profiteretur, illum affirmans verum Deum eſſe, univerſique conditorem; falſos autem Græcorum deos, lapides eſſe oſtendens, & ligna, & putrem materiam; crudeliſſimè cæditur, pedeſque illius candentibus ſubulis aduruntur: deinde in carcerem conjicitur. Sed iterùm quæſtioni ſubjecta, ſcipionibus acerrimè verberatur: ad hæc ſinguli membrorum artus forcipibus illi luxantur, rurſuſque in cuſtodiam includitur: in qua cùm oraret, & gratias Deo ageret, pro quo etiam martyrium ſubibat, beatum ſpiritum reddidit: reliquiæ verò ejus honorificè ſepulcro illatæ ſunt. S. Domnina Martyr.



EODEM MENSE

13. Die Decima tertia.

Certamen Sanctorum Martyrum Carpi, Papyli, & ſociorum Agathodori, & Agathonicæ.

SS. Carpus, Papylus, Agathodorus, & Agathonica, MM.

SAncti Martyres Carpus, & Papylus Decio Imperatore floruerunt. Et ſanctus quidem Carpus Epiſcopus Thyatirorum fuit; Papylus autem Diaconus. Comprehenſi autem ab Aſiæ Præfecto, interrogatique, Chriſti Domini nomen in conſpectu omnium confeſſi ſunt: juſſique idolis immolare, imperata facere recuſarunt. Quare alligatos ad equos, uſque ad Sardes urbem præ ſe egit, & raptavit Præfectus, ibique in equuleum actos excarnificari mandavit. Agathodorus autem Sanctorum ſervus, illos proſecutus, tandiu torquetur, donec expiravit. Porrò Carpus cùm in equuleo ſubrideret, rogatus à Præfecto, cujus cauſa id faceret, reſpondit, ſe exhilaratum eſſe, quod gloriam Dei vidiſſet. Igitur de equuleo depoſiti, in ignem conjiciuntur. Agathonica autem Papyli ſoror, quæ tùm aderat, in rogum ardentem ſua ſponte gaudens inſilit: & ambo animas Domino tradidere.

Eo-


ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΙΓ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Κάρπου, Παπύλου, καὶ τῶν σὺν αὐτοῖς Ἀγαθοδώρου, καὶ Ἀγαθονίκης.

ΟἹ ἅγιοι Μάρτυρες Κάρπος, καὶ Πάπυλος, ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως. Καὶ ὁ μὲν ἅγιος Κάρπος Ἐπίσκοπος ἦν Θυατείρων· ὁ δὲ Πάπυλος Διάκονος. Κρατηθέντες οὖν παρὰ τοῦ Ἄρχοντος τῆς Ἀσίας, καὶ ἐρωτηθέντες, ὡμολόγησαν ἐνώπιον πάντων τὸ ὄνομα τοῦ Δεσπότου Χριστοῦ. Καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, προσεδέθησαν ἵπποις, καὶ περιεπάτουν ἔμπροσθεν τοῦ Ἄρχοντος, συρόμενοι πρὸς τὰς Σάρδεις, κἀκεῖ κρεμασθέντες ἐπὶ ξύλων ἐξέοντο. Ὁ δὲ Ἀγαθόδωρος, δοῦλος ὢν τῶν ἁγίων, καὶ ἀκολουθῶν αὐτοῖς, βασανισθεὶς, ἐτελειώθη. Κρεμώμενος δὲ ὁ ἅγιος Κάρπος, ἐμειδίασε· καὶ εἰπόντος τοῦ Ἄρχοντος· τίνος χάριν ἐγέλασας, ὦ Κάρπε· ἀπεκρίθη· εἶδον τὴν δόξαν τοῦ Θεοῦ, καὶ ἐχάρην. Καταβιβασθέντες δὲ ἀπὸ τῶν ξύλων, ἐνεβλήθησαν εἰς τὸ πῦρ. Καὶ παροῦσα ἡ ἀδελφὴ τοῦ Παπύλου Ἀγαθονίκη, εἰσῆλθε χαίρουσα ἀφ᾽ ἑαυτῆς εἰς τὴν κάμινον· καὶ παρέδωκαν ἀμφότεροι τὰς ψυχὰς τῷ Κυρίῳ.

Τῃ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Φλωρεντίου.

Ὁ Μάρτυς Φλωρέντιος, ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης· Χριστιανὸς δὲ ὤν, καὶ ζηλωτὴς τοῦ καλοῦ, ὕβριζε καὶ διέβαλλεν ἐπὶ πάντων τοὺς Θεοὺς τῶν ἑλλήνων, καὶ τὴν θρησκείαν αὐτῶν ἀνεθεμάτιζεν, ἐδίδασκε δὲ πάντας τὴν ἀληθινὴν πίστιν τοῦ Χριστοῦ· καὶ ἐστήριζε τοὺς Χριστιανοὺς, καὶ παρεκάλει, πρὸς τὸ ποιεῖν τὰ θελήματα τοῦ Θεοῦ. Οὕτω δὲ ποιῶν, ἐκρατήθη παρὰ τοῦ τῆς χώρας Ἄρχοντος. Καὶ ἐρωτηθεὶς, ὡμολόγησεν ἐνώπιον αὐτοῦ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, εἶναι μόνον Θεόν· Τοὺς δὲ τῶν ἑλλήνων θεοὺς ξύλα ὑπάρχειν, καὶ λίθους, καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ χαλκὸν, καὶ σίδηρον, εἴδωλα ἄψυχα, καὶ ἀναίσθητα. Καὶ ταῦτα εἰπὼν, καὶ εἰς ὀργὴν κινήσας τὸν Ἄρχοντα, τιμωρεῖται διαφόρως. Εἶτα κρεμᾶται ἐπὶ ξύλου, καὶ ξέεται. Καὶ πυρᾶς ἀναφθείσης μεγάλης, ἐμβάλλεται εἰς αὐτὴν χαίρων. Καὶ ἐν αὐτῇ προσευχόμενος, καὶ εὐχαριστῶν τῷ Θεῷ, ἐτελειώθη.

Eodem die

Certamen Sancti Martyris Florentii.

Florentius martyr ex urbe Theſſalonica fuit. Cùm autem Chriſtianus eſſet, honeſtique ſtudioſiſſimus, probra & convicia maximè omnium in Græcorum Deos jactabat, vanamque eorum ſuperſtitionem anathematizabat; veram autem Chriſti fidem omnes edocebat, Chriſtianoſque confirmabat & cohortabatur ad explendam Dei voluntatem. Cujus rei cauſa comprehenſus à regionis Præfecto, interrogatuſque, in illius conſpectu confeſſus eſt, Dominum noſtrum Jeſum Chriſtum eſſe ſolum Deum; Græcorum verò deos, ligna eſſe, lapides, aurum, argentum, æs, & ferrum, idola animæ ſenſuſque expertia. Quæ cùm dixiſſet, concitato in iram Præfecto, variis tormentis excruciatur. Deinde in equuleum elatus ſcalpitur. Demum in ardentiſſimum rogum injectus, orans & gratias Deo agens, finem lætus accepit. S. Florentius Martyr.



EODEM MENSE

Die Decima quarta.

14.

Certamen Sanctorum Martyrum Nazarii, Gervaſii, Protaſii, & Celſi.

SS. Nazarius, Gervaſius, Protaſius, & Celſus.

HI Sancti Romæ claruerunt Nerone imperante. Fuit autem Nazarius Africani & Perpetuæ filius, qui à Sancto Petro baptizati ſunt: ipſe verò à Lino Patriarcha Romano baptizatus, cùm annum vigeſimum ageret, urbes Italiæ peragrabat, Chriſtum prædicans. Mox in civitatem quandam profectus, reperit Gervaſium, & Protaſium in vincula ob Chriſti fidem à regionis Præfecto conjectos. Cæſus igitur, atque ab urbe expulſus, in aliam conceſſit; adjunctoque ſibi Celſo trium annorum puero, Mediolanum abiit, ubi iterum Sanctos Gervaſium & Protaſium in carcere invenit; retentuſque, Romam à Præfecto mittitur. Uerùm Mediolanum regreſſus, capite plectitur unà cum reliquis Sanctis, & puero Celſo annum tunc nonum, & menſem ſeptimum agente.

ΜΗΝΙ' ΤΩ͂Ι ΑΥ'ΤΩ͂Ι

ΙΔ'.

Α῎θλησις τῶν ἁγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου.

ΟΥ῟τοι οἱ ἅγιοι, ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως ἐν τῇ Ῥώμῃ· ἦν δὲ ὁ Ναζάριος υἱὸς Ἀφρικανοῦ, καὶ Περπετούας, τῶν βαπτισθέντων παρὰ τοῦ ἁγίου Πέτρου. Αὐτὸς δὲ βαπτισθεὶς ὑπὸ Λίνου Πατριάρχου Ῥώμης, Καὶ ὑπάρχων χρόνων εἴκοσι, ἀπῆλθεν εἰς τὰς πόλεις Ἰταλίας, καὶ ἐκήρυττε τὸν Χριστόν. Εἶτα ἦλθεν ἐς πόλιν τινά, ἔνθα κατέλαβε Προτάσιον, καὶ Γερβάσιον ὄντας εἰς τὴν φυλακὴν, διὰ τὴν εἰς Χριστὸν πίστιν, ὑπὸ τοῦ τῆς χώρας Α῎ρχοντος. Τυφθεὶς δὲ, καὶ τῆς πόλεως ἐκδιωχθεὶς, ἀπῆλθεν εἰς ἑτέραν πόλιν, καὶ προσλαμβάνει Κέλσον τριῶν χρόνων ὄντα. Εἶτα τὴν πόλιν Μεδιολάνων καταλαβὼν, εὑρίσκει πάλιν ἐν τῇ φυλακῇ τοὺς ἁγίους Γερβάσιον, καὶ Προτάσιον. Καὶ κρατηθεὶς, παραπέμπεται ἐν Ῥώμῃ παρὰ τοῦ Α῎ρχοντος. Καὶ πάλιν εἰς Μεδιόλανα ὑποστρέψας, τέμνεται τὴν κεφαλὴν, ἅμα τοῖς λοιποῖς ἁγίοις, καὶ τῷ παιδίῳ Κελσίῳ, ὑπάρχοντι χρόνων ἐννέα, καὶ μηνῶν ἑπτά.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΙΕ'.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Λουκιανοῦ.

Λουκιανὸς ὁ Μάρτυς ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Μετὰ δὲ θάνατον τῶν γονέων, δοὺς τὰ ὑπάρχοντα αὐτῷ πτωχοῖς, προσεῖχε τῇ ἀναγνώσει τῶν θείων γραφῶν. Καὶ πολλοὺς τῶν ἑλλήνων ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. Καταλιπὼν δὲ τὴν Ἀντιόχειαν, κατέλαβε τὴν Νικομήδειαν, ἔνθα ὁ Διοκλητιανὸς τοὺς Χριστιανοὺς ἐφόνευεν. Καὶ ἐπεὶ πολλοὺς εὗρε διὰ φόβον τὸν Χριστιανισμὸν βουλομένους ἀρνήσασθαι, θαρσοποιήσας, ἔπεισε μαρτυρῆσαι· Τοσοῦτον δὲ γέγονε δι' ἀρετῆς Θεῷ ὅμοιος, ὥστε τὴν πόλιν περιέρχεσθαι· καὶ παρ' ὧν μὲν θέλειν βλέπεσθαι, παρ' ὧν δὲ μὴ θέλειν, μὴ ὁρᾶσθαι. Περὶ τούτου μαθὼν ὁ Διοκλητιανός, καὶ φοβηθεὶς εἰς πρόσωπον αὐτὸν ἀγαγεῖν, μήποτε παρ' αὐτοῦ ἐλεγχθῇ, κρεμάστος βῆλον συνέτυχεν αὐτῷ, καὶ ἰδὼν τὸ τῆς γνώμης αὐτοῦ ἀμετάθετον, καταδικάζει αὐτὸν λιμοκτονηθῆναι· ἐπὶ πολλὰς δὲ τὰς ἡμέρας μὴ μεταλαβὼν τροφῆς, ἐν τῇ φυλακῇ ἐτελειώθη. Καὶ ἐῤῥίφη ἐν τῇ θαλάσσῃ.

Τῇ

EODEM MENSE


Die Decima quinta. 15.

Certamen Sancti Martyris Luciani.

Lucianus Martyr Antiochiæ Syriæ natus, Imperatore Diocletiano, mortuis parentibus, diſtributis in pauperes facultatibus ſuis, divinarum Scripturarum lectioni totum ſe dedit, multoſque Græcorum ad Dominum convertit. Relicta autem Antiochia Nicomediam petiit, ubi Diocletiano per cædes in Chriſtianos debacchante, plurimos, quos metu tormentorum adactos defectionem à Chriſtiana fide moliri deprehendit, confirmavit, perſuaſitque eis, ut martyrium ſubirent. Adeo autem ob virtutes ſuas Deo ſimilis effectus eſt, ut cùm urbem obiret, à quibus vellet conſpiceretur, à quibus verò nollet, nequaquam videretur. Qua re comperta, Diocletianus veritus, ne ſi illum ad ſe acciret, ab eo objurgaretur, ſumpto velo convenit Lucianum: cujus animum cùm nullis artibus à ſententia dimovere potuiſſet, inedia eum confici juſſit. Igitur cùm nullum per multos dies cibum deguſtaſſet, in carcere deceſſit, ac in mare projectus fuit.

S. Lucianus Martyr.

Eo-



116

Eodem die

Commemoratio Sancti Patris noſtri Sabini Epiſcopi.

S. Sabinus Epiſcopus. BEatus Sabinus propter eximias virtutes, & honeſtiſſimos mores primum quidem Epiſcopus ordinatus fuit. Sed poſtea cùm ſeculares tumultus, quietis ſtudio, faſtidiret, in eremum procul ab omni hominum conſuetudine profectus, ea contentiooe comparandis virtutibus iocubuit, ſeipſum jejuniis, vigiliis, & exercitationibus dando, ut meruerit multa miracula edere, morbos depellere, leproſos mundare, dæmones fugare, & futura prænunciare. Cùm autem multis profuiſſet, & ad ſe accedentes doctrina ſua ad virtutes eò provexiſſet, ut relictis parentibus, fratribus, & domo, vitam monaſticam profeſſi, Chriſto ſervirent, eique in puritate, & mandatorum cuſtodia famularentur; in pace deceſſit, ſacrum quidem ſpiritum Domino, pretioſas autem reliquias ſuas cognatæ terræ commendans: quæ uſque in præſentem diem curationes emittunt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σαβίνου τοῦ Ἐπισκόπου.

Ὁ Μακάριος Σαβῖνος, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ἀρετὴν, καὶ καταστάσιν ἐγένετο πρότερον Ἐπίσκοπος. Εἶτα τοὺς θορύβους τοῦ κόσμου καταλιπὼν, διὰ τὸ τῆς ἡσυχίας καλὸν, ἐμάκρυνε φυγαδεύων ἐν ταῖς ἐρήμοις· καὶ τοσοῦτον ἠγωνίσατο πρὸς ἀρετὴν, νηστείαις, καὶ ἀγρυπνίαις, καὶ ἀσκήσεσι τὸν ἑαυτὸν ἐπιδοὺς, ὡς καὶ θαυμάτων ἀξιωθῆναι πολλῶν· νόσους ἀπελαύνειν, λεπροὺς καθαρίζειν, δαίμονας διώκειν, καὶ προλέγειν τὰ μέλλοντα. Πολλοὺς δὲ ὠφελήσας, καὶ πρὸς ἀρετὴν ἐπιδοῦναι ποιήσας, διὰ τῆς διδασκαλίας αὐτοῦ· καὶ γὰρ πολλοὶ προσήρχοντο αὐτῷ χάριν ὠφελείας· καὶ πείσας ἀφεῖναι καὶ γονεῖς, καὶ ἀδελφοὺς, καὶ οἰκίας, καὶ τῷ μοναχικῷ βίῳ προσελθεῖν, καὶ Χριστῷ δουλεύειν, καὶ θεραπεύειν αὐτὸν διὰ καθαρότητος, καὶ τῆς τῶν ἐντολῶν ἐργασίας, ἐν εἰρήνῃ ἐτελειώθη· Τὸ μὲν ἱερὸν πνεῦμα αὐτοῦ παραδοὺς Τῷ Κυρίῳ, Τὸ δὲ τίμιον αὐτοῦ λείψανον τῇ συγγενεῖ γῇ, ἔτι καὶ νῦν βρύον ἰάματα.



ΜΗΝΙ' ΤΩ͂Ι Α'ΥΤΩ͂Ι

Ις'.

Α'́θλησις τοῦ ἁγίου Μάρτυρος Λογγίνου τοῦ ἑκατοντάρχου.

ΕΠΙ' Τιβερίου Καίσαρος ἦν οὗτος ἐκ τῆς χώρας τῶν Καππαδοκῶν, ἑκατοντάρχης ὑπάρχων, καὶ στρατευόμενος ὑπὸ Πιλάτῳ τῷ τῆς Ἰουδαίας ἡγεμόνι· ὅστις καὶ προστάξεν αὐτῷ ὑπηρετῆσαι εἰς τὰ τίμια πάθη τοῦ Χριστοῦ, ἐπὶ τὴν σταύρωσιν, μετὰ τῶν ὑπ' αὐτὸν ἑκατὸν στρατιωτῶν. Α'λλ' αὐτὸς ἰδὼν τὰ ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ γενόμενα θαύματα, τὸν σεισμὸν, τοῦ ἡλίου τὸ σκότος, τοὺς ἀνοιγέντας τάφους, τοὺς ἐγερθέντας νεκροὺς, τὰς σχισθείσας πέτρας, ἀνεβόησεν. Α'ληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. Καὶ καταλιπὼν τὴν ὑποκειμένην αὐτῷ στρατείαν, καὶ τὴν ἰδίαν χώραν καταλαβὼν, ἐκήρυξε τὸν Χριστόν. Καὶ μαθόντες τοῦτο οἱ Ἰουδαῖοι, ἔδωκαν τῷ Πιλάτῳ χρήματα. Καὶ ὁ Πιλᾶτος ἔγραψε πρὸς Τιβέριον κατὰ τοῦ Λογγίνου. Ο' δὲ ἀποστείλας ἀπεκεφάλισεν αὐτὸν, καὶ τοὺς σὺν αὐτῷ δύο στρατιώτας, ἀποστείλας τὴν κεφαλὴν αὐτοῦ εἰς Ἱερουσαλὴμ· ἥτις ἐκρύβη ἐν κόπρῳ. Υ''στερον δὲ γυνή τις ἀπὸ Καππαδοκῶν τυφλὴ ἐκ θείας ὀπτασίας ἀπελθοῦσα εἰς Ἱερουσαλὴμ, καὶ εὑροῦσα τὴν κεφαλὴν, ἀνέβλεψεν.


EODEM MENSE

Die Decima ſexta. 16.

Certamen Sancti Martyris Longini Centurionis.

HIc Tiberio Cæſare ex regione Cappadocum Centorio fuit, militans ſub Pilato Judææ Præfecto, cujus juſſu pretioſæ Chriſti paſſioni & cruci unà cum centuria ſua miniſtravit. Sed cum ea, quæ Chriſto in crucem ſublato fiebant, miracula vidiſſet, terræ ſcilicet motum, ſolis deliquium, ſepulcra aperta, mortuos excitatos, petras ſciſſas; exclamavit: Verè Dei filius erat iſte: abdicatoque militiæ ſibi ſubjectæ munere, in patriam rediit, Chriſtum prædicans. Quo comperto Judæi, pecunia Pilatum ſubornarunt, qui ad Tiberium adverſus Longinum ſcripſit. At ille decollari eum unà cum duobus ſociis militibus mandavit, ejuſque caput Hieroſolyma deferri: quod in ſterquilinium dejectum, tandiu delituit, donec mulier quædam Cappadox cæca, divino admonita viſu, Hieroſolyma profecta, caput invenit, viſumque recepit.

S. Longinus Centorio.



EODEM MENSE

17. Die Decima ſeptima.

Certamen Sanctorum Martyrum Chryſanthi, & Dariæ.

SS. Chryſanthus, & Daria MM.

ISti Numeriano Imperatore claruerunt: & Chryſanrbus quidem Romam cum parre ſenatorii ordinis viro profectus, Chriſti fide ab Epiſcopo quodam in ſpelunca latente inſtituitur. Quod ubi reſcivit parer, in tenebricoſum carcerem eum includir: rum compellit uxorem ducere Dariam Philoſophicis imbutam ſtudiis: qua ramen non ſecus ac ſorore uſus eſt, quando id uterque conſilii ceperat, ut virginitatem ad mortem uſque tuerentur. Quare & ipſa baptizata eſt. Sed cùm ambo populum ad caſtè temperatèque vivendum inducerent, infideles ægerrimè ferentes, uxores ſuas facto ſecum divortio, Chriſto deſponderi, rem deferunt Præfecto, qui illos Claudio Tribuno tradidir. Ex urbe igitur educti, & variis cruciatibus torti, in foveam cœno plenam dejiciuntur; atque obruti, & conculcati, decedunt.

Eo-

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΙΖ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Χρυσάνθου, καὶ Δαρείας.

ΟὟτοι ὑπῆρχον ἐπὶ Νουμεριανοῦ τοῦ βασιλέως· καὶ ὁ μὲν Χρύσανθος ἀπελθὼν ἅμα τῷ ἰδίῳ πατέρι ἐν Ῥώμῃ, συγκλητικῷ ὑπάρχοντι, γίνεται Χριστιανὸς παρά τινος Ἐπισκόπου ἐν σπηλαίῳ κρυπτομένου. Ἀλλὰ ταῦτα γνοὺς ὁ πατὴρ αὐτοῦ, ἐγκλείει αὐτὸν εἰς σκοτεινὴν φυλακήν· εἶτα καταναγκάζει λαβεῖν γυναῖκα. Καὶ δίδωσιν αὐτῷ Δαρείαν τὴν φιλόσοφον. Ὁ δὲ Χρύσανθος ἰδὼν αὐτὴν, ἐχρήσατο αὐτῇ ὡς ἀδελφῇ, καὶ συνεβουλεύσαντο τοῦ μέχρι θανάτου εἶναι παρθένοι. Εἶτα ἐβαπτίσθη καὶ αὐτή· καὶ ἐδίδασκον ἀμφότεροι τὸν λαὸν περὶ ἁγνείας καὶ σωφροσύνης· ἠγανάκτησαν οὖν οἱ ἕλληνες, ὅτι τὰς γυναῖκας ἑαυτῶν πείθουσι καταλιμπάνειν αὐτοὺς, καὶ μνηστεύεσθαι τῷ Χριστῷ· καὶ διέβαλλον αὐτοὺς τῷ ἐπάρχῳ· καὶ παραδίδονται Κλαυδίῳ τῷ Τριβούνῳ. Καὶ ἄγονται ἔξω τῆς πόλεως, καὶ βασανίζονται διαφόρως. Εἶτα βόθρου ὀρυχθέντος βορβορώδους, ἐμβάλλονται ἀμφότεροι. Καὶ καταχωσθέντες καὶ καταπατηθέντες, τελειοῦνται.

Τῇ



119

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου Προφήτου Ὠσηέ.

Ὁ Προφήτης Ὠσηὲ ὑπῆρχε μὲν ἐκ τῆς χώρας Ἰουδαίας, τὸν δὲ Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς σεβόμενος· καὶ τοὺς τῶν ἐθνῶν θεοὺς μισῶν, καὶ ἀποστρεφόμενος· καὶ τῶν ὁμοφύλων Ἰουδαίων τὰ σφάλματα διορθούμενος, ἐδέξατο προφητείας μεγάλα χαρίσματα. Καὶ πολλὰ προφητεύσας κατά τε τοῦ Ἰσραὴλ, καὶ κατὰ τῶν ἐθνῶν, ἔδωκε σημεῖον· ἥξειν τὸν Κύριον ἐπὶ γῆς ἀνθρώποις συναναστρεφόμενον. Καὶ ἔδωκε τέρας, ὅτι ὅτε δύνῃ ὁ ἥλιος ἐν Σηλὼμ, καὶ μερισθῇ ἡ δρῦς, ἡ ἐν Σιλωὰμ, εἰς δώδεκα μέρη, γεννηθήσονται δώδεκα δρύες· τουτέστιν, ὅτε σταυρώσουσι τὸν ἥλιον τῆς δικαιοσύνης, Χριστὸν, οἱ Ἰουδαῖοι, καὶ θανὼν, δύνῃ, διαμερισθήσονται αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ εἰς πάντα τὰ ἔθνη, καὶ γεννηθήσονται δώδεκα δρύες· ἤτοι οἱ δώδεκα Ἀπόστολοι· οἳ διδάξουσι πάντα τὰ ἔθνη, πιστεύειν εἰς τὸν Χριστόν. Ταῦτα προφητεύσας, ἐν εἰρήνῃ τελειωθεὶς, ἐτάφη.

Eodem die

Commemoratio Sancti Oſee Prophetæ.

OSee Propheta ex regione Judææ fuit, Deum cœli & terræ colens, deoſque gentium odio habens & execrans, Judæorumque contribulium ſuorum errores corrigens. Quare maximum Prophetiæ donum accepit: & multa quidem adverſus Iſraël, & adverſus gentes prophetauit; ſed illud præcipuè ſignum dedit, quod venturus eſſet Dominus, & in terra cum hominibus converſaturus. Aliud præterea oſtentum dedit: Occidet, inquiens, ſol in Selom; diſſectaque in duodecim partes arbore in Siloë, naſcentur duodecim arbores: hoc eſt, cùm in crucem egerint Judæi Chriſtum ſolem juſtitiæ, & hic mortuus fuerit, ſolque radios ſuos condiderit, dividentur duodecim tribus Iſraël in omnes gentes, orienturque duodecim arbores, qui ſunt duodecim Apoſtoli, convertentque omnes gentes ad Chriſti fidem. Hæc cùm prophetaſſet, in pace deceſſit, & ſepultus eſt. S. Oſee Propheta.



Eodem die

Certamen Sanctorum Anargyrorum Coſmæ, & Damiani, fratrumque eorum Anthimi, Leontii, & Euprepii.

SS. Coſmas & Damianus, eorumque fratres Anthimus, Leontius, & Euprepius.

TRia ſunt Sanctorum Anargyrorum paria; qui & iiſdem Coſmæ & Damiani nominibus appellati fuerunt, & medicinæ artem tractaverunt, & Anargyrorum cognomen habuerunt. Fuere enim alii Theodotæ religioſiſſimæ feminæ filii, qui in pace decedentes, in loco Phereman dicto ſepulti ſunt. Alii cùm Romæ degerent, præceptorem invidum habentes; per dolum ab eo in montem, quaſi ad legendas herbas, deducti, lapidibus obruti ſunt. Alii, quorum certamina enarrare inſtituimus, Arabes fuere, qui terrarum orbem peragrantes, gratis & ſine pretio ægrotos curabant. Diocletiani verò temporibus in Ciliciam profecti, & comprehenſi, ſiſtuntur Lyſiæ Duci: à quo variis tormentis excruciati, capite demum plexi ſunt, una cum tribus, qui eos proſequebantur, fratribus, Anthimo, Leontio, & Euprepio.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, καὶ τῶν ἀδελφῶν αὐτῶν, Ἀνθίμου, Λεοντίου, καὶ Εὐπρεπίου.

ΤΡεῖς εἰσὶν αἱ συζυγίαι τῶν ἁγίων ἀναργύρων, Κοσμᾶ, καὶ Δαμιανοῦ, ἀμφοτέρων καὶ τοῖς αὐτοῖς ὀνόμασι καλουμένων, καὶ τὴν ἰατρικὴν τέχνην μετερχομένων, καὶ τὴν προσηγορίαν τῆς ἀναργυρίας ἐχόντων. Οἱ μὲν γὰρ ἦσαν υἱοὶ Θεοδότης γυναικὸς εὐλαβοῦς. Ἐν εἰρήνῃ κοιμηθέντες καὶ καταθεμένοι ἐν τόπῳ καλουμένῳ Φερεμάν. Οἱ δὲ ἐν τῇ Ῥώμῃ διῆγον ἔχοντες διδάσκαλον φθονερόν· ὅστις μετὰ δόλου ἀναγαγὼν αὐτοὺς εἰς ὄρος, ὡς δῆθεν βοτάνας συνάξοντας, λίθοις φονεύει. Οἱ δὲ ὧν ἐστὶν ἡ παροῦσα ἄθλησις, ὑπῆρχον ἐκ τῆς χώρας Ἀραβίας· περιερχόμενοι δὲ κατὰ πᾶσαν πόλιν, ἐθεράπευον ἀναργύρως τοὺς ἀσθενοῦντας. Κατὰ δὲ τοὺς χρόνους Διοκλητιανοῦ παρεγένοντο ἐν τῇ χώρᾳ τῆς Κιλικίας· καὶ κρατηθέντες παρέστησαν Λυσίᾳ τῷ δουκί· Ὅστις καὶ διαφόρως τιμωρήσας αὐτοὺς, ὕστερον ἀπεκεφάλισε, σὺν τοῖς ἀκολουθοῦσιν αὐτοῖς τρισὶν ἀδελφοῖς, Ἀνθίμῳ, Λεοντίῳ, καὶ Εὐπρεπίῳ.



121

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΙΗ'.

Μνήμη τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Λουκᾶς ὁ Εὐαγγελιστὴς ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς μεγάλης· ἰατρὸς τὴν τέχνην, καὶ ζωγράφος. Ἀπελθὼν δὲ εἰς Θήβας τῆς Μακεδονίας ἐπὶ Τιβερίου τοῦ βασιλέως, διὰ τὸν διωγμὸν, ἐνέτυχε τῷ ἁγίῳ Ἀποστόλῳ Παύλῳ· καὶ ὡς ὑπάρχων εἰς τῶν ἑβδομήκοντα Ἀποστόλων, ἠκολούθησεν αὐτῷ, καὶ σὺν αὐτῷ ἐκήρυξε τὸν Χριστόν. Καὶ συνήργει εἰς τὴν τοῦ κηρύγματος, καὶ τοῦ εὐαγγελίου διακονίαν προθύμῳ γνώμῃ. Συνεγράψατο δὲ πρότερον τὸ κατ' αὐτὸν ἅγιον Εὐαγγέλιον, πρὸς Θεόφιλον τινὰ ἡγεμόνα, πιστεύσαντα εἰς τὸν Χριστὸν, ὑπαγορεύσαντος αὐτῷ τοῦ ἁγίου Πέτρου τοῦ Ἀποστόλου· ἔπειτα ἐξέθηκε τὰς πράξεις τῶν Ἀποστόλων, πρὸς τὸν αὐτὸν Θεόφιλον. Καὶ ταῦτα πράξας, ἐν εἰρήνῃ τὴν ψυχὴν ἀπέδωκε τῷ Θεῷ. Τὸ δὲ ἱερὸν καὶ τίμιον αὐτοῦ λείψανον, ἐτάφη μὲν πρότερον ἐν Θήβαις· ὕστερον δὲ ἀνακομισθὲν ἀπὸ Θηβῶν ἐν Κωνσταντινουπόλει, κατετέθη ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων.

EODEM MENSE

Die Decima octava. 18.

Commemoratio Sancti Apoſtoli & Evangeliſtæ Lucæ.

S. Lucas Evangeliſta.

Lucas Evangeliſta in Antiochia magna ortus, profeſſione Medicus, & Pictor, cùm Thebas Macedoniæ, Tiberio Imperatore, ob perſecutionem veniſſet, congreſſus collocutuſque cum ſancto Apoſtolo Paulo, ut qui ex ſeptuaginta Apoſtolorum numero erat, eidem Apoſtolo ſe ſocium adjunxit, & unà cum ipſo Chriſtum prædicavit; promptoque animo in prædicationem, & evangelii miniſterium eidem cooperatus eſt. Conſcripſit autem primo ſanctum, quod ejus nomen præfert, Evangelium ad Theophilum quemdam Præfectum, qui in Chriſtum crediderat, dictante ſibi Sancto Petro Apoſtolo: deinde Apoſtolorum Acta ad eundem Theophilum. Poſt hæc in pace animam Deo tradidit. Sacræ verò & pretioſæ ejus reliquiæ Thebis primum ſepultæ, poſtmodum inde Conſtantinopolim translatæ, in Sanctorum Apoſtolorum templo conditæ fuerunt.



EODEM MENSE

19. Die Decima nona.

Certamen Sancti Martyris Sadoth, & Sanctorum centum viginti ſociorum.

S. Sadoth, & ſocii 120. Martyres.

SAdoth Martyr, Sapore Perſarum Rege, claruit. Chriſtianæ autem fidei cauſa comprehenſus, adductuſque ad eundem Regem, cùm ignem adorare nollet, graviſſimè cæditur: tum cute à fronte ad pedes inuſta, deque ejus pelle loro digiti latitudine detracto, iterum bubulis nervis laceratus, ſuper ſpinas, ligna, & ſaxa acutiſſima nudus pertrahitur. Deinde digitis articulatim diſſectis, in cochleam haſtili cogitur. Præterea eandentibus ſubulis in reliquo corpore fodieatur. Mox inverſo capite ſuſpenditur, eique lingua præciditur. Cujus conſtantiam homines mille ducenti ſeptuaginta conſpicati, in eam opinionem venere, niſi magnarum rerum ſpem haberet, eum tanta perferre non poſſe. Quamobrem Chriſti fidem amplexi, in vincula conjiciuntur. Sadoth verò gratias Deo agens, unà cum centum viginti Sanctis capite plectitur.

Eo-

ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

ΙΘ'.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Σαδὼθ, καὶ τῶν σὺν αὐτῷ ἑκατὸν εἴκοσι ἁγίων.

ΣΑδὼθ ὁ Μάρτυς ὑπῆρχεν ἐπὶ Σαβωρίου βασιλέως Περσῶν· διὰ δὲ τὴν εἰς Χριστὸν πίστιν κρατηθεὶς, καὶ προσαχθεὶς αὐτῷ· καὶ μὴ πεισθεὶς λατρεῦσαι τῷ πυρὶ, τύπτεται ἀπηλεῶς· καὶ χαράσσεται τὸ δέρμα αὐτοῦ, ἀπὸ τοῦ μετώπου μέχρι τῶν ποδῶν. Καὶ ἐκδέρεται ἀπὸ τοῦ δέρματος αὐτοῦ λῶρος δακτύλου τὸ πλάτος. Καὶ πάλιν τύπτεται μετὰ βοείων λωρίων. Καὶ ἐπὶ ἀκανθῶν, καὶ ξύλων, καὶ λίθων ὀξέων σύρεται γυμνός. Εἶτα τέμνεται τοὺς δακτύλους κατ' ἁρμόν. Καὶ ἐμβληθεὶς εἰς κοχλίαν διὰ ξυρακίου κατασφίγγεται. Καὶ μετὰ ταῦτα σουβλίοις πεπυρωμένοις τὸ ὑπολειφθὲν σῶμα κατακεντεῖται. Καὶ κρεμασθεὶς κατὰ κεφαλῆς, τὴν γλῶσσαν ἐκτέμνεται. Καὶ ἰδόντες τὴν καρτερίαν αὐτοῦ χίλιοι διακόσιοι ἑβδομήκοντα ἄνδρες· καὶ ἐννοήσαντες, ὅτι εἰ μὴ εἶχε μεγάλας ἐλπίδας, οὐκ ἂν τοιαῦτα ὑπέμενεν, ἐπίστευσαν εἰς τὸν Χριστόν. Καὶ παρεδόθησαν τῇ φυλακῇ. Αὐτὸς δὲ εὐχαριστῶν τῷ Θεῷ, τὴν κεφαλὴν ἀπετμήθη, σὺν ἑτέροις ἁγίοις ἑκατὸν εἴκοσι.

Τῇ



123

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἀμφιλοχίου Ἐπισκόπου Ἰκονίου.

ΟὟτος προχειρίζεται Ἐπίσκοπος Ἰκονίου, ὑφ᾽ ἁγίων Ἀγγέλων, οὐκ ἀνθρωπίνης χειρός. Συναγωνιστὴς δὲ γενόμενος τῶν ἁγίων πατέρων, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Γρηγορίου τοῦ Νύσσης, κατὰ τῶν αἱρετικῶν παρετάξατο, Ἀρείου, καὶ Εὐνομίου, καὶ τῶν ὁμοίων. Παρετάθη δὲ ἡ ζωὴ αὐτοῦ μέχρι Θεοδοσίου τοῦ μεγάλου· ὃν καὶ ἠξίωσε κωλῦσαι τῶν Ἀρειανῶν τὰς ἐν ταῖς πόλεσι συνάξεις. Βαρὺ δὲ νομίσαντος τοῦτο τοῦ βασιλέως, διὰ τὴν ταραχὴν, τότε μὲν ἡσύχασεν. Ὕστερον δὲ κατά τινα χρείαν εἰσελθὼν πρὸς τὸν βασιλέα, καὶ τὸν υἱὸν αὐτοῦ Ἀρκάδιον ἰδὼν τῷ πατρὶ συγκαθήμενον, τὸν μὲν Θεοδόσιον προσεκύνησε· τὸν δὲ υἱὸν παρῆλθε. Τοῦ δὲ βασιλέως εἰπόντος, ἵνα τί τὸν υἱόν μου παρέδραμες, ἔφη· γνῶθι βασιλεῦ· ὅτι ὥσπερ σὺ ἠγανάκτησας τοῦ υἱοῦ παραβλεπομένου, οὕτω καὶ ὁ Θεὸς καὶ Πατὴρ, τοῦ Υἱοῦ καὶ Λόγου ὑβριζομένου. Ὅθεν πεισθεὶς ὁ βασιλεὺς, ἐποίησε τὸ τοῦ ἁγίου θέλημα. Οὕτω δὲ ζήσας εὐσεβῶς, πρὸς Κύριον ἐξεδήμησεν.

Eodem die

Commemoratio Sancti Patris noſtri Amphilochii Epiſcopi Iconii.

HIC non mortalis cujuſquam, ſed ſanctorum Angelorum manibus ordinatus Iconii Epiſcopus, commilito ſanctorum Patrum Baſilii Magni, Gregorii Theologi, & Gregorii Nyſſeni, adverſus Arium, Eunomium, & horum ſimiles hæreticos in acie ſtetit: qui cùm ad Theodoſii magni tempora vixiſſet, atque ab eo ad coërcendas Arianorum in urbibus ſynaxes lectus eſſet, tunc quidem ſuperſedit, quod Imperator vereretur, ne ea res magnos excitaret tumultus. Sed poſtea cùm quadam de cauſa Imperatorem Theodoſium conveniſſet, illumque ſolum, Arcadio filio, qui propè aſſidebat, prætermiſſo, adoraſſet, rogatus, quam ob rem id faceret, reſpondit: Quemadmodum tu, Imperator, indigne fers, ſi non idem filio, qui tibi, honor habeatur; ſic & Deo Patri injuriam fieri ſcito, ſiquis Filium & Verbum contumelia afficit. Quibus verbis movit adeo Imperatorem, ut de illius ſententia ac voluntate rem confecerit. Hunc in modum tranſacta cum pietate vita, ad Dominum migravit. S. Amphilochius Epiſc.

Τῇ

Eo-



Eodem die

Commemoratio Sancti & glorioſi Prophetæ Joëlis.

S. Joël Propheta.

HIC fuit ex Judææ regione. Voluntatem autem Domini exequens, prophetiæ donum accepit. Et alia quidem multa, ſed longè plura de Chriſto prophetavit, quod ſcilicet ex Virgine naſciturus eſſet. Sed & de Spiritu ſancto vaticinatus eſt, quem ſancti duodecim Apoſtoli in magno Pentecoſtes feſto acceperunt, inquiens: *Hæc dicit Dominus: & erit in noviſſimis diebus, effundam de Spiritu meo ſuper omnem carnem, & prophetabunt filii veſtri, & filiæ veſtræ.* Quod & contigit: nam cùm in ſuperiore domus parte ſederent ſancti Apoſtoli, in die Pentecoſtes, hora tertia diei, deſcendit Spiritus ſanctus in ſpecie linguarum ignearum, conſeditque ſuper ſingulos eorum, deditque eis varia dona: nec illis ſolum, ſed & iis, qui ipſis ſucceſſere. Cumque hæc Joël prophetaſſet, in pace obdormivit, ſepultuſque eſt in terra ſua.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ἁγίου καὶ ἐνδόξου Προφήτου Ἰωήλ.

Οὗτος ὑπῆρχε ἐκ τῆς Ἰουδαίας χώρας· ποιῶν δὲ τὸ θέλημα Κυρίου, ἔλαβε προφητείας χάρισμα· προεφήτευσε δὲ καὶ ἄλλα μὲν πολλά, πλείονα δὲ περὶ τοῦ Χριστοῦ· ὅτι μέλλει γεννηθῆναι ἐκ παρθένου· ἔτι δὲ καὶ περὶ τοῦ ἁγίου Πνεύματος, ὃ ἔλαβον οἱ ἅγιοι δώδεκα Ἀπόστολοι, ἐν τῇ μεγάλῃ ἑορτῇ τῆς πεντηκοστῆς· εἰπών· ὅτι τάδε λέγει Κύριος· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις· ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. Καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν· καὶ αἱ θυγατέρες ὑμῶν. Ὃ δὴ καὶ γέγονε. Καθεζομένων γὰρ τῶν ἁγίων Ἀποστόλων ἐν τῷ ὑπερῴῳ οἰκήματι ἐν τῇ ἡμέρᾳ τῆς πεντηκοστῆς, ὥρᾳ τρίτῃ τῆς ἡμέρας, κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει πυρίνων γλωσσῶν· καὶ ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν· καὶ δέδωκεν αὐτοῖς χαρίσματα διάφορα, καὶ προφητείας. Καὶ οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς μετέπειτα. Ταῦτα δὲ προφητεύσας, ἐν εἰρήνῃ ἐκοιμήθη, καὶ ἐτάφη ἐν τῇ ἰδίᾳ γῇ.



ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

Κ'.

Μνήμη τοῦ ἁγίου Κορνηλίου τοῦ ἑκατοντάρχου.

Κορνήλιος ὁ ἑκατοντάρχης, ὑπῆρχεν ἀπὸ Καισαρείας τῆς Παλαιστίνης, ἑκατὸν στρατιωτῶν ἄρχων, ἐπὶ τῶν χρόνων τῶν ἁγίων Ἀποστόλων· ὅστις καὶ πρῶτος ἐξ ἐθνῶν ἐπίστευσε τῷ Χριστῷ. Ἰδὼν γὰρ ὁ Θεὸς τὰς ἐλεημοσύνας αὐτοῦ, ἃς ἐποίει εἰς τοὺς πτωχοὺς, προσεδέξατο αὐτόν. Καὶ δι' Ἀγγέλου παρεσκεύασεν αὐτὸν βαπτισθῆναι παρὰ τοῦ ἁγίου Πέτρου. Εἶτα χειροτονεῖται Ἐπίσκοπος Σκαμάνδρου. Ἐν ᾗ καὶ κηρύττων τὸν Χριστὸν, ἐκρατήθη παρὰ Δημητρίου τοῦ Ἄρχοντος. Καὶ κατηναγκάσθη εἰσελθεῖν εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ θῦσαι ἅμα τῷ λαῷ, καὶ τῇ γυναικὶ αὐτοῦ, καὶ τῷ υἱῷ· ἀπελθόντος δὲ καὶ προσευξαμένου πρὸς τὸν Θεὸν, ἐγένετο σεισμὸς, καὶ ἔπεσον τὰ εἴδωλα, καὶ ὁ ναὸς· καὶ συνεκάλυψε τὸν υἱὸν τοῦ Ἄρχοντος, καὶ τὴν γυναῖκα· καὶ ἐβόων ζῶντες κάτωθεν· ὅτι μέγας ὁ Θεὸς Κορνηλίου· παρεκάλεσε δὲ αὐτὸν ὁ Ἄρχων, καὶ προσηύξατο· καὶ ἐξῆλθον. Καὶ ἐπίστευσαν, ὅ τε Ἄρχων, καὶ ἡ γυνὴ αὐτοῦ· καὶ υἱός· καὶ ἄνδρες σοζ'· καὶ οὕτως ἐν εἰρήνῃ ἐτελειώθη.

Τῇ


EODEM MENSE

Die Vigeſima. 20.

Commemoratio Sancti Cornelii Centurionis.

Cornelius Centurio ex Cæſarea Palæſtinæ fuit, centum militum princeps, temporibus ſanctorum Apoſtolorum: qui omnium gentilium primus in Chriſtum credidit. Deus enim videns eleemoſynas, quas pauperibus faciebat, acceptum eum habuit, & per Angelum monuit, ut à ſancto Petro baptizaretur. Deinde Epiſcopus Scamandri ordinatus, cùm fidem Chriſti diſſeminaret, comprehenſus à Demetrio præſide, compulſuſque idolorum templum ingredi, atque ibi unà cum populo, & uxore, & filio immolare, oravit ad Deum. Et ſtatim facto terræmotu, collapſoque cum idolis templo, uxor & filius præſidis obruti fuerunt: quibus ſub ruina vociferantibus, & magnum eſſe Cornelii Deum inclamantibus, rogatus à præſide Cornelius, precibus à Deo impetravit, ut inde incolumes evaderent. Quamobrem Demetrius cum uxore, & filio, & aliis ducentis ſeptuaginta ſeptem in Chriſtum credidit. Ipſe verò Cornelius in pace quievit. S. Cornelius Centurio.

R Eo-



Eodem die

Certamen Sancti Martyris Artemii Thaumaturgi.

S. Artemius Thaumaturgus.

ARtemius multis certaminibus clarus; Juliano apoſtata imperante, Dux Alexandriæ Ægypti, & in Patriciorum numerum à Conſtantino Magno Imperatore adſcriptus, cognita Juliani crudelitate, quam in Chriſtianos Antiochiæ exercebat, eum adiit: & impietate ejus objurgata, nervis bubulis cæditur: tùm lumbis illius acutis tribulis laceratis, lateribuſque ac palpebris uncis lancinatis, medio ſaxo à lapicida diſſecto includitur. Deinde coagmentatis iterùm partibus compreſſus, intolerabiles exilientibus oculis, diffuſiſque inteſtinis cruciatus pertulit: qui cùm à propoſito pietatis ſtudio verbis tyranni deduci non poſſet, gladio trucidatus finem accepit. Ejus reliquiæ Conſtantinopolim translatæ, ibique depoſitæ, ſanitatem eis, qui cum fide ad ipſum accedunt, reſtituunt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ἀρτεμίου τοῦ θαυματουργοῦ.

ἈΡτέμιος ὁ πολύαθλος, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου, δοὺξ Ἀλεξανδρείας τῆς Αἰγύπτου· ἐν τοῖς πατρικίοις διαπρέψας ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου βασιλέως· ἀκούσας δὲ, ὅτι Ἰουλιανὸς ἐν Ἀντιοχείᾳ τιμωρεῖ τοὺς Χριστιανοὺς, παρεγένετο πρὸς αὐτὸν, τὴν παρανομίαν αὐτοῦ διελέγχων. Τύπτεται οὖν παρ' αὐτοῦ βουνεύροις· καὶ τριβόλοις ὀξέσι τὰ ψόα ξέεται· καὶ ὀγκίνοις τὰς πλευρὰς, καὶ τὰ βλέφαρα καταπικεντεῖται. Καὶ ὑπὸ λιθοξόων πέτρας διακοπείσης, μέσον ἐμβάλλεται. Καὶ τῶν δύο μερῶν συναρμοσθέντων, συγκρατηθεὶς εἴσω, τὴν ἀφόρητον ὑπέστη τιμωρίαν· ἐκβληθέντων αὐτοῦ τῶν ὀφθαλμῶν, καὶ τῶν ἐντέρων κάτω συνελαθέντων. Ἐπεὶ δὲ, μετὰ τοσαύτας τιμωρίας, οὐκ ἐπείσθη τοῖς λόγοις τοῦ τυράννου, τὴν διὰ ξίφους δέχεται τελευτήν. Τὸ δὲ ἅγιον αὐτοῦ λείψανον ἀνεκομίσθη, καὶ κατετέθη ἐν Κωνσταντινουπόλει, παρέχον ἰάματα τοῖς πιστῶς αὐτῷ προσερχομένοις.



127

ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΚΑ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Δασίου, Γαΐου, καὶ Ζωτικοῦ.

Οὗτοι οἱ ἅγιοι Μάρτυρες ὑπῆρχον ἐν Νικομηδείᾳ τῇ πόλει. Δημοτελοῦς δὲ τοῖς εἰδώλοις ἑορτῆς γενομένης παῤῥησιασάμενοι, τὰ ἐπὶ τῶν βωμῶν κείμενα κατέστρεψαν· καὶ ἀσεβήσαντες, ὡς ἀσεβεῖς παρὰ τῶν ἀφρόνων ἀσεβῶν ἐλογίσθησαν. Ὅθεν κρατηθέντες παρέστησαν τῷ δικάζοντι. Ὁ δὲ πᾶσαν πεῖραν αὐτοῖς βασάνων προσήγαγε· καὶ γὰρ ἔτυψεν αὐτοὺς ἀνηλεῶς· καὶ ἐπὶ ξύλων ἐκρέμασε· καὶ πληγὰς ἐνεποίησε· καὶ τὰς πλευρὰς αὐτῶν ταῖς μάστιξι διέῤῥηξε· καὶ τριχίνοις ὑφάσμασι τὰς σάρκας αὐτῶν κατέξανε. Καὶ ἐπεὶ ἑώρα καταφρονοῦντας μὲν τῶν βασάνων, ἐλέγχοντας δὲ τὴν τῶν εἰδώλων ματαιότητα· μεγάλῃ δὲ τῇ φωνῇ κηρύττοντας τὸν Χριστὸν, Θεὸν μόνον εἶναι ἀληθινὸν, λίθους μεγάλους τοῖς τραχήλοις αὐτῶν περιθεὶς, εἰς τὸν βυθὸν κατηκόντισεν· ἔνθα καὶ τὸ τέλος τῆς μαρτυρίας ἐδέξαντο· εὐχαριστοῦντες Χριστῷ τῷ βασιλεῖ τῶν αἰώνων μέχρι θανάτου, ὅτι ἠξιώθησαν ὑπὲρ αὐτοῦ ἀποθανεῖν.

Τῇ

EODEM MENSE

Die Vigeſima prima. 21.

Certamen Sanctorum Martyrum Daſii, Gaii, & Zotici.

HI ſancti martyres in urbe Nicomedia claruere. Cùm autem publicus idolorum feſtus dies ageretur, fidenter pièque ea, quæ ſuper altaribus poſita erant, evertentes, à ſtultis infidelibus impiè feciſſe exiſtimati ſunt. Quare injectis catenis ad judicem rapiuntur: à quo quæcumque excogitari potuere tormenta, experti ſunt, duriſſima verbera, equuleum, plagas, diſſecta flagellis latera, carnes ciliciis pannis laniatas. Quæ omnia cùm non ſolum negligerent; ſed etiam idolorum vanitatem objurgarent, & magna voce Chriſtum ſolum verum Deum eſſe teſtarentur, ſaxis de collo appenſis, in gurgitem injecti, ſagittis confoſſi ſunt: ibique martyrii finem conſecuti, gratias Chriſto regi ſeculorum uſque ad mortem agebant, quod digni ab eo habiti eſſent, pro ipſo mortem oppetere. SS. Daſius, Gaius, & Zoticus MM.



Eodem die

Commemoratio Sancti Patris noſtri Hilarionis Presbyteri, & Anachoretæ.

S. Hilarion. SAnctus Hilarion Gazæ Palæſtinæ natus, Conſtantino Magno Imperatore claruit. Alexandriam autem Ægypti ſtudiorum cauſa profectus, Dei beneficio duo conſecutus eſt, ut & literas, & ea etiam, quæ ad Chriſti fidem ſpectant, perdiſceret. Quare baptizatus, cognita Antonii Magni diſciplina ac inſtitutione, illum adiit: cujuſque diſcipulus factus, virtutis opera per aliquot annos ab eo didicit. Mox in patriam reverſus, cùm parentes jam è vita diſceſſiſſent, facultates ſuas omnes pauperibus diſtribuit: ſumptoque cilicio & melote, eremum petiit, ubi ſolitariam vitam agens, miraculorum gratiam accepit. Volens autem hominum vitare frequentiam, ob quietis amorem modo hunc, modo illum locum ſæpè mutabat. Cùmque octoginta annos vixiſſet, quorum ſeptuaginta in monaſtica diſciplina exegerat, migravit ad Dominum.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱλαρίωνος πρεσβυτέρου γενομένου, καὶ ἀναχωρητοῦ τῆς ἐρήμου.

Ὅσιος Ἱλαρίων ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου, ἐκ τῆς πόλεως Γάζης τῆς Παλαιστίνης· ἐπιθυμίᾳ δὲ τοῦ μαθεῖν γράμματα, παρεγένετο εἰς Ἀλεξάνδρειαν τῆς Αἰγύπτου. Καὶ τῇ τοῦ Θεοῦ χάριτι ἀμφοτέρων ἔλαβε τὴν γνῶσιν, τῶν τε γραμμάτων, καὶ τῶν εἰς τὴν Χριστοῦ πίστιν ἁρμοζόντων. Εἶτα ἐβαπτίσθη. Καὶ ἀκούσας περὶ τῆς πολιτείας τοῦ μεγάλου Ἀντωνίου, ἀπῆλθε πρὸς αὐτὸν, καὶ γέγονεν αὐτοῦ μαθητὴς, μανθάνων ἐπί τινα χρόνον τὰ τῆς ἀρετῆς ἔργα· ὑποστρέψας δὲ ἐν τῇ πατρίδι, καὶ τοὺς γονεῖς αὐτοῦ εὑρὼν τελευτήσαντας, τὸν πλοῦτον αὐτοῦ πάντα διέδωκε τοῖς πτωχοῖς· καὶ φορέσας ἱμάτιον τρύχινον, καὶ δέρμα προβάτου, καταλαμβάνει τὴν ἔρημον. Καὶ καλῶς μονάσας, ἐδέξατο χάριν θαυμάτων· θέλων δὲ φεύγειν τοὺς ἀνθρώπους διὰ τὴν ἡσυχίαν, ἀπήρχετο ἀπὸ τόπου εἰς τόπον συχνότερον. Ζήσας δὲ ἔτη ὀγδοήκοντα, καὶ πληρώσας ἐν τῇ μοναδικῇ πολιτείᾳ ἔτη ἑβδομήκοντα, πρὸς Κύριον ἐξεδήμησεν.



ΜΗΝΙ' ΤΩ͂Ι Α'ΥΤΩ͂Ι

ΚΒ'.

Μνήμη τοῦ ἁγίου, καὶ ἰσαποστόλου πατρὸς ἡμῶν Ἀβερκίου Ἐπισκόπου Ἱεραπόλεως.

Ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἀβέρκιος ἦν ἐπὶ τῆς βασιλείας Μάρκου, Ἐπίσκοπος γενόμενος Ἱεραπόλεως παρὰ τῶν ἁγίων Ἀποστόλων. Ἦν δὲ καὶ θαυματουργὸς περιβόητος. Θέλων δὲ αὐτὸν ὁ δαίμων πειράσαι, εἰσῆλθεν εἰς τὴν τοῦ βασιλέως θυγατέρα· ἥτις καὶ ἐζήτει τὸν ἅγιον ἵνα θεραπεύσῃ αὐτήν. Διὸ καὶ διὰ γραμμάτων βασιλικῶν πρὸς τὴν Ῥώμην ὥρμησε. Προσέταξε δὲ τῷ ὑπουργῷ αὐτοῦ βαλεῖν εἰς ἀσκὸν ἕνα ὄξος, καὶ γάρον, καὶ ἔλαιον· καὶ ὅτε μὲν αὐτὸς ἐξ αὐτῶν τι ἐζήτησεν, ἐξήρχετο κεχωρισμένον ἓν ἕκαστον. Ὅτε δὲ ὁ ὑπουργὸς αὐτοῦ ἠβουλήθη λάθρα ἐκβαλεῖν, ἐξήρχοντο μεμιγμένα. Κατελθὼν δὲ εἰς Ῥώμην, τὴν μὲν θυγατέρα τοῦ βασιλέως ἰάσατο· τῷ δαίμονι δὲ προσέταξε τὸν πλησίον κείμενον βωμὸν, λίθον μέγαν ὄντα, ἀγαγεῖν εἰς Ἱεράπολιν· ὅτι σὺ μὲν παρεσκεύασάς με κοπιᾶσαι εἰς Ῥώμην· ἐγὼ δὲ προστάσσω σοι ἀγαγεῖν τὸν λίθον, καὶ θεῖναι ἐπάνω τοῦ τάφου μου. Ὃ καὶ γέγονε. Βιώσας δὲ ἐν ὁσιότητι τὸ λοιπὸν τῆς ζωῆς, πρὸς Κύριον ἐξεδήμησεν.

Τῇ

EODEM MENSE

Die Vigeſima ſecunda. 22.

Commemoratio Sancti, & Apoſtolorum æqualis Patris noſtri Abercii Epiſcopi Hierapolis.

SAnctus Pater noſter Abercius Marco Imperatore floruit, Epiſcopus Hierapolis à ſanctis Apoſtolis ordinatus, celeberrimus miraculorum patrator. (S. Abercius Epiſc Hierapolis.) Cùm vellet autem dæmon eum tentare, ingreſſus Imperatoris filiam, effecit, ut illa ſanctum quæreret, ut ab illo ſanaretur. Accitus itaque per literas ab Imperatore, Romam venit. Imperavit autem ſervo, ut in unum eundemque utrem acetum, garum, & oleum immitteret, ex quibus ſiquid ſibi ſanctus depromi juſſiſſet, ſeparatim ac propriè ſingula; at ſi ſervus ſibi ſumere furtim auſus eſſet, promiſcuè fluebant. Romam igitur cùm perveniſſet, Imperatoris filia liberata, dæmoni imperavit, ut lapideam aram, quæ in conſpectu jacebat, Hierapolim deferret: Tu, inquiens, tanti itineris Romam uſque mihi auctor fuiſti: ego verò præcipio tibi, ut lapidem tollas, & ſepulcro meo ſuperimponas. Quod & contigit. Sanctus verò cùm reliquum vitæ ſuæ tempus ſanctiſſimè traduxiſſet, ad Dominum migravit.

Eo-



150

Eodem die

Certamen Sacroſancti Martyris Alexandri, & ſociorum Heraclii, Annæ, Theodotæ, & Glyceriæ.


S. Alexander, & ſocii Mat.

ALexander ſacer Martyr cùm Epiſcopus eſſet, & liberè Chriſtum prædicans, multos Judæorum Græcorumque ad Chriſti fidem traductos baptizaret, retentus à regionis Præfecto, direque tortus & dilaniatus, cùm idolis ſacrificare compelleretur, nulla arte ad id induci potuit. Cujus conſtantiam miles quidam, Heraclius nomine, admiratus, in Chriſtum credidit: quare & ipſe multis tormentis excruciatus, capite plectitur. Alexander verò multis editis miraculis; quippe qui Chriſti opera à plagis ſanatus fuerat, tres etiam feminas ad Chriſti fidem pertraxit, Annam, Theodotam, & Glyceriam, quæ in conſpectu Præfecti oblatæ, ipſum objurgarunt, & idolorum ſuperſtitionem falſam appellarunt. Quamobrem ira excandeſcens Præfectus, caput Alexandro primùm amputari jubet; deinde Sanctas ſuppliciis vexatas capitis damnavit. Atque ita finem habuere.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ἀλεξάνδρου, καὶ τῶν σὺν αὐτῷ, Ἡρακλείου, Ἄννης, Θεοδότης, καὶ Γλυκερίας.

ΑἈλέξανδρος ὁ Ἱερομάρτυς Ἐπίσκοπος ὢν, καὶ παῤῥησίᾳ τὸν Χριστὸν κηρύττων, καὶ τῇ διδασκαλίᾳ αὐτοῦ πολλοὺς ἔκ τε τῶν Ἰουδαίων, καὶ τῶν ἑλλήνων πρὸς τὴν πίστιν ἐπιστρέφων, καὶ βαπτίζων, ἐκρατήθη παρὰ τοῦ τῆς χώρας Ἄρχοντος· καὶ πολλὰ τιμωρηθεὶς, καὶ ξεσθεὶς, καὶ καταναγκασθεὶς θῦσαι τοῖς εἰδώλοις, οὐκ ἐπείσθη. Ἰδὼν δὲ τὴν καρτερίαν αὐτοῦ στρατιώτης τις, Ἡράκλειος τοὔνομα, ἐπίστευσε τῷ Χριστῷ. Καὶ πλεῖστα τιμωρηθεὶς καὶ αὐτὸς ἀπετμήθη τὴν κεφαλήν. Θαυματουργήσας δὲ μετὰ τοῦτο ὁ ἅγιος Ἀλέξανδρος· καὶ γὰρ ἰάθη τὰς πληγὰς τῇ τοῦ Χριστοῦ ἐπισκέψει· ἐπεσπάσατο πρὸς τὴν τῶν Χριστιανῶν πίστιν καὶ γυναῖκας τρεῖς Ἄνναν, Θεοδότην, καὶ Γλυκερίαν· αἵτινες σταθεῖσαι ἐνώπιον τοῦ Ἄρχοντος, ἤλεγξαν αὐτὸν, καὶ τὴν τῶν εἰδώλων θρησκείαν ψευδῆ ἀπεκάλεσαν. Τότε θυμωθεὶς ὁ Ἄρχων, πρῶτον μὲν ἀπεκεφάλισε τὸν ἅγιον Ἀλέξανδρον· ἔπειτα βασανίσας τὰς ἁγίας, ἀπέτεμε καὶ αὐτῶν τὰς κεφαλὰς, καὶ οὕτως ἐτελειώθησαν.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΓ΄.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος, καὶ Ἀποστόλου Ἰακώβου ἀδελφοῦ τοῦ Κυρίου.

Ὁ Ἅγιος Ἰάκωβος πρῶτος Ἐπίσκοπος ἐν Ἱεροσολύμοις ἐγένετο, παρ᾽ αὐτοῦ τοῦ Κυρίου χειροτονηθείς. Καὶ πρῶτος τὴν θείαν λειτουργίαν ἔγραψε παρὰ τοῦ Χριστοῦ αὐτὴν διδαχθείς. Ἀλλ᾽ ὕστερον συντομωτέραν αὐτὴν ἐποίησεν ὁ μέγας Βασίλειος, εἶτα ὁ Χρυσόστομος, διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν. Πολλοὺς δὲ διδάσκων ὁ ἅγιος Ἰάκωβος ἐκ τῶν Ἰουδαίων καὶ ἐκ τῶν ἑλλήνων, καὶ ἐπιστρέφων αὐτοὺς ἐπὶ τὸν Κύριον, εἰς ὀργὴν ἐκίνησε τοὺς Ἰουδαίους. Συναχθέντες οὖν καὶ κρατήσαντες αὐτὸν, ἔρριψαν ἀπὸ τοῦ ἄκρου τοῦ ἱεροῦ, καὶ αὐτὸν ἀπέκτειναν. Περὶ δὲ τοῦ λέγεσθαι Ἀδελφόθεος, φέρεται λόγος τοιοῦτος ἐκ παραδόσεως. Τοῦ μνήστορος Ἰωσὴφ μερίζοντος τὴν γῆν αὐτοῦ τοῖς υἱοῖς αὐτοῦ, τοῖς ἐκ τῆς προτέρας γυναικὸς, καὶ βουλομένῳ μερίδα ποιήσασθαι καὶ τῷ τῆς ἁγίας παρθένου υἱῷ, καὶ Θεῷ, οἱ μὲν ἄλλοι οὐ κατεδέξαντο· ὁ δὲ Ἰάκωβος παραλαβὼν αὐτὸν εἰς τὴν αὐτοῦ μερίδα συγκληρονόμον, ἐκλήθη οὐ μόνον ἀδελφόθεος, ἀλλὰ καὶ δίκαιος.

Τῇ

EODEM MENSE

Die Vigeſima tertia. 23.

Certamen Sacroſancti Martyris, & Apoſtoli Jacobi fratris Domini.

SAnctus Jacobus primus Hieroſolymorum Epiſcopus ab ipſo Chriſto ordinatus, primus & ab eodem edoctus, divinam Liturgiam conſcripſit, quam poſtea Baſilius magnus, & poſt hunc Chryſoſtomus, hominum infirmitati conſulentes, concisiorem reddidere. Jacobus autem cùm multos Judæorum Græcorumque docendo ad Dominum converteret, Judæos ad iracundiam adeo excitavit, ut coacti in unum comprehenderint eum, atque è templi faſtigio deturbatum necaverint. Cur autem Dei frater dicatur, hic fertur ex traditione ſermo. Cùm Joſeph ſponſus terras ſuas ex priore conjuge filiis divideret, velletque partem ſanctæ Virginis filio & Deo tradere, alii quidem minimè aſſenſere; Jacobus verò in ſuam illum partem cohæredem accipiens, non modo Dei frater, verùm etiam juſtus eſt inde appellatus.

S. Jacobus Apoſtolus frater Domini.

Eo-



132

Eodem die

Certamen Sanctorum Martyrum Theodotæ, & Socratis Presbyteri.

S. Theodota & Socrates Presbyter.

SAncta Theodota Alexandro Imperatore nobilibus parentibus nata, ex regione Ponti fuit. Cùm autem quietis ſtudio in quoddam monaſterium ſe ſe abdidiſſet, ob Chriſti fidem delata ad Præfectum, ejuſque juſſu comprehenſa, & in equuleum ſemel atque iterum ſublata ſcalpitur. Deinde in ardentiſſimum caminum injecta, ſed Chriſti beneficio erepta, mittitur à Præfecto Byzantium, mox Ancyram: ubi cùm Græci publicè dæmoniis feſtum diem celebrarent, idolaque colerent, Socrates Presbyter vir pius, Dominique noſtri Jeſu Chriſti Confeſſor, zelo plenus, hoſtiarum aras evertit: quamobrem capite plexus ſpiritum tradidit. Sancta verò Theodota juſſa idolis immolare, cùm imperata facere recuſaſſet, in ſartaginem ferventis olei plenam conjicitur: ſed cùm inde illæſa divinitus evaſiſſet, gladio ipſa quoque vitam finivit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Θεοδότης, καὶ Σωκράτους πρεσβυτέρου.

Ἡ Ἁγία Θεοδότη, ὑπῆρχεν ἐπὶ Ἀλεξάνδρου τοῦ βασιλέως, εὐγενῶν μὲν γονέων ὑπάρχουσα, οὖσα δὲ ἐκ τῆς χώρας τοῦ Πόντου. Ἐν ἀσκητηρίῳ δὲ τινὶ ἀπελθοῦσα, καὶ ἡσυχάζουσα διεγνώσθη. Καὶ κρατηθεῖσα παρὰ τοῦ Ἄρχοντος διὰ τὸν Χριστὸν, ἐκ δευτέρου κρεμασθεῖσα ξέεται· καὶ εἰς φοῦρνον ἐκπυρωθέντα ἐμβάλλεται. Τῇ τοῦ Χριστοῦ δὲ χάριτι τούτου ῥυσθεῖσα, ἄγεται παρὰ τοῦ Ἄρχοντος ἐπὶ τὸ Βυζάντιον· Εἶτα ἐν Ἀγκύρᾳ· ἔνθα ὁ πρεσβύτερος Σωκράτης, τῶν ἑλλήνων πάνδημον ἑορτὴν τελούντων τοῖς δαίμοσι, καὶ προσκυνούντων τοῖς εἰδώλοις, εὐλαβὴς ὤν, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογῶν, ζήλου πλησθεὶς, καὶ τὸν βωμὸν καταστρέψας τῶν θυσιῶν, ἐτμήθη τὴν κεφαλήν· Καὶ οὕτω παρέδωκε τὸ πνεῦμα. Ἡ δὲ ἁγία Θεοδότη ἀναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, ἐνεβλήθη εἰς τήγανον μετὰ κοχλάζοντος ἐλαίου. Καὶ τῇ τοῦ Θεοῦ χάριτι τοῦ τηγάνου ἐξελθοῦσα ἀβλαβὴς, διὰ ξίφους ἐτελειώθη καὶ αὐτή.



Τῇ αὐτῇ ἡμέρᾳ

Ἡ ἀνάμνησις τῆς φανερώσεως τῶν ἁγίων ἑπτὰ παίδων τῶν ἐν Ἐφέσῳ.


Οὗτοι οἱ ἅγιοι, Μαξιμιλιανὸς, Ἰάμβλιχος, Μαρτινιανὸς, Διονύσιος, Ἰωάννης, Κωνσταντῖνος, καὶ Ἀντωνῖνος, ὑπῆρχον ἐπὶ Δεκίου τοῦ βασιλέως ἐν Ἐφέσῳ. Διὰ δὲ τὸν Χριστὸν κρατηθέντες, προσήχθησαν τῷ βασιλεῖ· Καὶ καιρὸν αἰτησάμενοι τοῦ σκέψασθαι, ἔτυχον τούτου. Εἶτα φυγόντες ἀπῆλθον ἐν ὄρει τινὶ, καὶ εἰσῆλθον εἰς σπήλαιον, καὶ ἐν αὐτῷ ἐκοιμήθησαν. Εἶτα ἀνεφράγη τοῦ σπηλαίου ἡ εἴσοδος· καὶ τριακοσίων Ο Β΄. ἐτῶν παρελθόντων, ἐπὶ τῆς βασιλείας Θεοδοσίου τοῦ μικροῦ, δόγμα ἐκινήθη παρὰ τῶν αἱρετικῶν, λεγόντων μὴ εἶναι ἀνάστασιν. Καὶ τοῦ βασιλέως περὶ ταύτης φροντίζοντος, θέλων ὁ Θεὸς πληροφορῆσαι πάντας, ὅτι ἔστιν ἀνάστασις, εὐδόκησεν ἀνοιγῆναι τὸ σπήλαιον, καὶ ἀναστῆναι ζῶντας. Ἐξ ὧν Ἰάμβλιχος λαβὼν νόμισμα ἐκ τῶν ἐπὶ τοῦ Δεκίου, καὶ κατελθὼν ἐν τῇ πόλει, ἀγοράσαι τροφὴν, ὡς ἤδη χθὲς κοιμηθεὶς, ἐπεγνώσθη· καὶ ἀχθεὶς πρὸς τὸν Ἐπίσκοπον, ἀνεδίδαξε πᾶσιν τὴν ἀλήθειαν. Ἐγένοντο οὖν μάρτυρες τῆς ἀναστάσεως. Καὶ πάλιν θανόντες, ἐτέθησαν ἐν τῷ σπιλαίῳ.

Eodem die

Commemoratio manifeſtationis Sanctorum ſeptem Puerorum Epheſi.

HI Sancti Maximilianus, Jamblichus, Martinianus, Dionyſius, Joannes, Conſtantinus, & Antoninus, imperante Decio, Epheſi claruere. Ob Chriſti autem confeſſionem comprehenſi, & ad Imperatorem producti, cùm tempus ad deliberandum petiiſſent, idque impetraſſent, in montem quemdam profugientes, in ſpeluncam ſeſe abdidere, ibique obdormierunt, obſtruſo ſpeluncæ aditu. Trecenteſimo autem ſeptuageſimo ſecundo poſt anno, Theodoſio juniore imperaute, cùm hæretici dogma moviſſent, negando reſurrectionem, eaque res Imperatorem maximè ſollicitum haberet, Deus, ut in omnium animis certam reſurrectionis fidem confirmaret, aperta ſpelunca voluit eos vivos excitare: ex quibus Jamblichus ſumpto Decii nummo deſcendit in urbem ad coëmendos cibos, ut qui heſterna die dormiiſſet: ſed cognitus, adductuſque ad Epiſcopum, rem omnem, uti ſe habuerat, expoſuit. Igitur cùm teſtatam reſurrectionem feciſſent, iterum mortui, in ſpeluncam illati ſunt.

SS. Septem Pueri Epheſi.



Eodem die

Commemoratio Sancti Patris noſtri Ignatii Patriarchæ Conſtantinopolitani.

S. Ignatius Patriarcha CP.

SAnctus Pater noſter Ignatius filius Michaëlis Imperatoris, frater Theophili, & nepns Nicephnri Imperatorum, eunuchus primum, deinde monachus factus, præfuit monaſterio Archangeli, quod olim Orientis, nune autem Satyri cognnmen habet. Poſtea creatus Patriarcha Conſtantinopolitanus, cùm præfuiſſet undecim annos, & menſes quinque, à Michaële Imperatore deturbatur, ſubrngato in ejus locum Photio, monacho prius facto: qui & ipſe poſtea ejectus fuit à Baſilio Imperatnre, reſtituto in ſuam ſedem Ignatio, quam cum annis undecim occupaſſet, iterum depoſitus eſt, ſuffecto ei Sancto Stephano Baſilii Imperatnris filio. Sanctus verò Ignatius in Satyri monaſterium ſecedens, vitâ piè religioſèque traducta, in pace deceſſit.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰγνατίου Πατριάρχου Κωνςαντινουπόλεως.

ΟἘν ἁγίοις πατὴρ ἡμῶν Ἰγνάτιος, γέγονε μὲν ὑὸς Μιχαὴλ τοῦ βασιλέως· ἀδελφὸς δὲ Θεοφίλου, καὶ ἔκγονος Νικηφόρου τῶν βασιλέων. Εὐνοῦχος δὲ γεγονὼς, εἶτα καὶ μοναχὸς, γέγονε καὶ ἡγούμενος τῆς μονῆς τοῦ Ἀρχαγγέλου, τοῦ ποτὲ μὲν ἐπιλεγομένου ἀνατέλλοντος, νῦν δὲ Σατύρου. Εἶτα προεχειρίσθη καὶ Πατριάρχης Κωνςαντινουπόλεως· καὶ ἐκράτησεν ἔτη ἕνδεκα, μῆνας πέντε. Καὶ μετὰ ταῦτα ἐξεβλήθη ὑπὸ Μιχαὴλ βασιλέως, ἀντ' αὐτοῦ Πατριάρχην ποιήσαντος Φώτιον γενόμενον πρότερον μοναχόν. Εἶτα ἐξεβλήθη καὶ αὐτὸς ὑπὸ Βασιλείου βασιλέως· καὶ ἀντικατέςη Ἰγνάτιος πάλιν· καὶ ἐπεσκόπησεν ἔτη ἕνδεκα· καὶ πάλιν ἐξεβλήθη· καὶ ἐγένετο Πατριάρχης Στέφανος ὁ ἐν ἁγίοις υἱὸς Βασιλείου βασιλέως. Ὁ δὲ ἅγιος Ἰγνάτιος ἀπελθὼν ἐν τῷ τοῦ Σατύρου μοναςηρίῳ, καὶ καλῶς βιώσας, ἐν εἰρήνῃ ἐτελειώθη.



ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΚΔ΄.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ἀρέθα, καὶ τῆς συνοδίας αὐτοῦ.

Οὗτος ἦν πρῶτος τῆς πόλεως Νεγρᾶς ἐν Αἰθιοπίᾳ, ἐπὶ τῆς βασιλείας Ἰουστίνου· τῆς μὲν Αἰθιοπίας βασιλεύοντος Ἐλεσβαὰν τοῦ χριστιανικωτάτου· τῶν δὲ Ὁμηριτῶν, Ἑβραίου τινός. Ἡ δὲ τοιαύτη χώρα παρὰ μὲν τῇ θείᾳ γραφῇ λέγεται Σαβᾶ· παρὰ δὲ ἕλλησιν, Εὐδαίμων Ἀραβία. Τοῦ δὲ Ἐλεσβαᾶ τὸν Ἑβραῖον ὑποτάξαντος, καὶ φύλακας ἐν τῇ πόλει αὐτοῦ καταστήσαντος, ἐπαναστὰς ὁ Ἑβραῖος ἀνεῖλεν αὐτούς, καὶ πρὸς τὴν Νεγρὰν πόλιν ἐξέδραμεν. ἥντινα ἐπολιόρκησεν, οὐ δυνάμει, ἀλλ᾽ ἐπιορκίαις. Ὅθεν τοὺς ἐν αὐτῇ Χριστιανοὺς πάντας ἄνδρας τε καὶ γυναῖκας ἐφόνευσεν. Ἔνθα ὁ ἅγιος Ἀρέθας γέρων ὤν, καὶ μὴ δυνάμενος περιπατῆσαι, ἔκειτο. Ἐξ οὗ ὅτε ἦγον αὐτὸν ἀποκεφαλίσαι, ὑπὸ ἑτέρων ἐβαστάζετο. Ἀχθεὶς οὖν ἀπεκεφαλίσθη, εὐχαριστῶν τῷ Θεῷ, μετὰ τῶν λοιπῶν Χριστιανῶν, τῶν ἐν τῇ πόλει Νεγρᾷ· καὶ οὕτως ἐτελειώθη.


EODEM MENSE

Die Vigeſima quarta. 24.

Certamen Sancti Martyris Arethæ, & ſociorum.

S. Arethas, & ſocii MM.

HIc Negræ urbis in Æthiopia princeps fuit temporibus Juſtini Imperatoris. Æthiopiæ autem regnum tenente Eleſbaano eximio Chriſtianæ religionis cultore, Homeritis, quorum regio in ſcripturis ſacris Saba, à Græcis autem Felix Arabia dicitur, Hebræus quidam imperabat. Elesbaanus verò ſupetato Hebræo, urbem ejus præſidiis firmaverat. At Hebræus cæſo repentè præſidio, ad urbem Negram contendir, quam cùm non vi, ſed perjuriis cepiſſet, Chriſtianos omnes ibi repertos, viros & feminas, trucidavit. Sanctus autem Arethas cùm ſenio confectus jaceret, neque per ſe ambulare poſſet, ſuccollantibus aliis ad cædem delatus eſt. Quare gratias Deo agens, decollatus fuit unà cum reliquis Chriſtianis in urbe Negra repertis, atque ita finem vitæ accepit.



Eodem die

Commemoratio Sancti Patris noſtri Procli Patriarchæ Conſtantinopolitani.

S. Proclus Patriarcha CP.

SAnctus Pater noſter Proclus, pietate, ſapientia, & virtute inſignis, à Siſinio Patriarcha Conſtantinopolitano Epiſcopus Cyzici creatus, neque à Clericis Cyzicenis, quippe qui hæretici erant, receptus, Conſtantinopolim rediit, ibique dies egit, ſibi ipſi, & lectioni vacans. Defuncto autem Maximiano Patriarcha, cùm ejus reliquiæ adhuc in ſanctiſſimæ & magnæ Dei Eccleſiæ ſacrario jacerent, in ejus locum Patriarcha Conſtantinopolitanus electus, in throno collocatur in majori hebdomada, feria quinta ſalutaris Paſſionis Domini noſtri Jeſu Chriſti. Cùmque poſt ordinationem præclarè ſe geſſiſſet, multiſque doctrina ſua profuiſſet, exactis in Epiſcopatu annis duodecim ac tribus menſibus, in pace quievit.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Πρόκλου Πατριάρχου Κωνσταντινουπόλεως.

ΟʼἘν ἁγίοις πατὴρ ἡμῶν Πρόκλος, εὐλαβὴς ὢν, καὶ σοφὸς, καὶ ἐνάρετος, ἐχειροτονήθη παρὰ τοῦ ἁγίου Σισιννίου Πατριάρχου Κωνσταντινουπόλεως Ἐπίσκοπος Κυζίκου. Ἀπελθὼν δὲ, καὶ μὴ δεχθεὶς παρὰ τῶν ἐκεῖ κληρικῶν, αἱρετικῶν ὄντων, ὑπέστρεψεν ἐν Κωνσταντινουπόλει, τὸν μεταξὺ σχολάζων χρόνον, καὶ προσέχων ἑαυτῷ τε καὶ τῇ ἀναγνώσει. Τελευτήσαντος δὲ Μαξιμιανοῦ τοῦ Πατριάρχου, ἔτι τοῦ λειψάνου αὐτοῦ κειμένου ἐν τῷ ἱερατείῳ τῆς ἁγιωτάτης τοῦ Θεοῦ μεγάλης ἐκκλησίας, προχειρίζεται Πατριάρχης Κωνσταντινουπόλεως· καὶ ἐνθρονίζεται κατ' αὐτὴν τὴν μεγάλην ἑβδομάδα ἐν τῇ ἁγίᾳ πέμπτῃ τοῦ σωτηρίου πάθους τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ καλῶς πολιτευσάμενος καὶ μετὰ τὴν χειροτονίαν, καὶ πολλοὺς διὰ τῆς διδασκαλίας αὐτοῦ ὠφελήσας, ἐπεσκόπησεν ἔτη δώδεκα, καὶ μῆνας τρεῖς, καὶ τελειωθεὶς, ἀνεπαύσατο.



177

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΕ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ Μαρτυρίου.


ΟὟτοι μαθηταὶ καὶ Νοτάριοι ὑπῆρχον τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ, Πατριάρχου γεγονότος Κωνσταντινουπόλεως, ἐπὶ τῆς βασιλείας Κωνσταντίου. Ἐπεὶ οὖν ὁ ἐν ἁγίοις Παῦλος παρ᾽ αὐτοῦ τοῦ βασιλέως, διὰ τὸ μὴ καταδέχεσθαι τὴν τῶν Ἀρειανῶν αἵρεσιν, ἢ κοινωνίαν, ἀλλὰ τούτους ἀποκηρύττειν, ὑπερόριος ἐν Ἀρμενίᾳ γέγονεν, ἔνθα καὶ τὸ μακάριον ἐδέξατο τέλος, ἀποπνιγεὶς ἀπὸ τῶν Ἀρειανῶν διὰ τὴν ὀρθόδοξον ὁμολογίαν· καὶ οὗτοι τὰ ὅμοια φρονοῦντες τῷ διδασκάλῳ, τοὺς Ἀρειανοὺς ἤλεγχον, καὶ ἐκρατήθησαν παρὰ Φιλίππου τοῦ ἐπάρχου, Ἀρειανοῦ ὄντος, καὶ πολλὰ τιμωρηθέντες, ἀπεκλείσθησαν εἰς σκοτεινὴν φυλακὴν, λιμῷ καὶ σκότει βασανιζόμενοι· ἐκβληθέντες δὲ τῆς φυλακῆς, ἠναγκάζοντο συνελθεῖν εἰς τὴν τῶν Ἀρειανῶν αἵρεσιν· καὶ μὴ πεισθέντες, ἀπάγονται ἐν τῷ ἄκρῳ τοῦ τείχους, καὶ σφάζονται μετὰ μαχαιρῶν· ἔνθα καὶ τὰ λείψανα αὐτῶν κατετέθησαν.

EODEM MENSE

Die Vigeſima quinta. 25.

Certamen Sanctorum Martyrum & Notariorum Marciani, & Martyrii.

HI diſcipuli, & Notarii fuere ſancti Pauli Confeſſoris, & Patriarchæ Conſtantinopolitani, temporibus Conſtantii Imperatoris. Poſtquam autem ſanctus Paulus ab eodem Imperatore, quod ab Arianorum hæreſi abhorrens, nullam cum iis communionem jungere voluiſſet, in Armeniam relegatus fuit, ibique beatum vitæ finem accepit, ab Arianis ob orthodoxam confeſſionem ſtrangulatus; Marcianus & Martyrius veſtigiis magiſtri inhærentes, quod Arianos objurgarent, à Philippo Præfecto Ariano comprehenſi, diuque torti, in tenebricoſum carcerem includuntur, ut fame ac tenebris conficerentur. Inde eductos compellebant Arianam hæreſim amplecti: in propoſito autem perſiſtentes, ad muri ſummitatem adductos, gladiis jugularunt: ubi & eorum reliquiæ depoſitæ ſunt. SS. Marcianus, & Martyrius MM.



Eodem die

Certamen Sancti Martyris Vari, & Sanctorum ſeptem ſociorum.

S. Varus, & ſeptem ſocii MM.

SAnctus martyr Varus, Maximiano Imperatore, ſtipendia in Ægypto merens, genere & pietate inſignis, cùm ſancti quidam viri ex montium ſpecubus, in quibus diu latuerant, extracti, in vincula ob Chriſti fidem eſſent conjecti, carcerem ingreſſus, ſolutos catenis ſanctos multa benignitate proſecutus eſt: cui illi auctores fuerunt, ut abſterſo animi metu, apertè & palam Chriſtum coleret. Cùm igitur unus illorum ſeptem in carcere obiiſſet, in defuncti locum ſanctus Varus ſeſe ſubſtituit. Quod ubi reſcivit Præfectus, adductum in conſpectum ſuum Varum unà cum reliquis, & palam Chriſtum confeſſum, virgis cædi juſſit, & ſuſpenſum in lateribus dilaniari. Similiter & ſex reliqui ſancti in ſublime arrepti, ferreis ungulis depexi ſunt, virgiſque per quinque horas percuſſi, donec ſpiritum Domino tradidere.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Οὐάρου, καὶ τῶν σὺν αὐτῷ ἑπτὰ ἁγίων.

Ὁ Ἅγιος Μάρτυς Οὔαρος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, στρατευόμενος ἐν Αἰγύπτῳ, γένους ὢν ἐπισήμου, καὶ εὐσεβής. Κρατηθέντων δὲ τινῶν ὁσίων ἀνδρῶν, τῶν πρότερον μὲν ἐν ὄρεσι καὶ σπηλαίοις ἐπὶ χρόνοις πολλοῖς διατριψάντων, εἶτα τῇ φυλακῇ παραδοθέντων διὰ τὸν Χριστόν· εἰσήρχετο ὁ ἅγιος Οὔαρος, λύων αὐτοὺς τῶν ἁλύσεων, καὶ τούτων ἐπιμελούμενος· οἵτινες καὶ ἔλεγον αὐτῷ παῤῥησιάσασθαι, καὶ μὴ κεκρυμμένως σέβεσθαι τὸν Χριστόν. Ἐπεὶ οὖν εἷς τῶν ἑπτὰ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ ἀπέθανεν, ἐνέταξεν ἑαυτὸν ἀντ' ἐκείνου ὁ ἅγιος Οὔαρος. Καὶ διαγνωσθέντος τούτου τῷ ἡγεμόνι, ἤχθη ἐνώπιον αὐτοῦ μετὰ τῶν λοιπῶν. Καὶ φανερῶς τὸν Χριστὸν ὁμολογήσας, τύπτεται ῥάβδοις· καὶ κρεμασθεὶς ξέεται τὰς πλευράς. Ὁμοίως καὶ οἱ λοιποὶ ἓξ ἅγιοι σὺν αὐτῷ κρεμασθέντες ἐξέοντο μετὰ τῶν σιδηρῶν ὀνύχων. Καὶ οὕτω ξεόμενοι, καὶ ῥάβδοις τυπτόμενοι, ἐπὶ πέντε ὥρας, παρέδωκαν τὰ πνεύματα αὐτῶν τῷ Κυρίῳ.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Κϛʹ.

Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου.

Ὁ Πανένδοξος τοῦ Χριστοῦ Μάρτυς Δημήτριος ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ, ἐκ τῆς Θεσσαλονίκης πόλεως· εὐσεβὴς ὤν, καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. Ἀπελθὼν δὲ ὁ Μαξιμιανὸς ἐν τῇ Θεσσαλονίκῃ, καὶ μαθὼν περὶ τοῦ ἁγίου Δημητρίου, ὅτι Χριστιανός ἐστιν, ἐκράτησεν αὐτὸν, καὶ βασανίσας ἀπέκλεισεν. Εἶχε δὲ τότε ὁ Μαξιμιανὸς μονομάχον τινὰ ὀνόματι Λυαῖον· καὶ ἐκαυχᾶτο ἐπ' αὐτῷ, λέγων· ὅτι οὐ μὴ εὑρεθῇ τις νικῆσαι τὸν Λυαῖον. Καὶ μαθὼν τοῦτο νεανίσκος τίς ὀνόματι Νέστωρ, ἐζήλωσεν. Καὶ ἀπελθὼν ἐν τῇ φυλακῇ πρὸς τὸν ἅγιον Δημήτριον, ἔλαβε παρ' αὐτοῦ εὐχήν. Καὶ νικήσας τὸν Λυαῖον, ἐφόνευσεν αὐτόν. Ἐλυπήθη δὲ ὁ Μαξιμιανὸς διὰ τὸν θάνατον τοῦ μονομάχου· εἶτα μαθὼν, ὅτι αἴτιος τοῦ θανάτου αὐτοῦ Δημήτριος ἐγένετο, ἀποστείλας ἐν τῇ φυλακῇ, ἐφόνευσεν αὐτόν· τῶν στρατιωτῶν ἀπελθόντων ἐν τῇ φυλακῇ μετὰ τῶν κονταρίων, καὶ κατακεντησάντων αὐτόν. Ἔνθα κείμενος βρύει ἰάματα.

EODEM MENSE


Die Vigeſima ſexta. 26.

Certamen Sancti magni Martyris Demetrii.

GLorioſiſſimus Chriſti martyr Demetrius, Maximiano Imperatore, ex urbe Theſſalonica fuit, vir pius, & Chriſtianæ fidei magiſter. Cùm autem Maximianus Theſſalonicam veniſſet, accuſatum Chriſtianæ religionis ſanctum Demetrium comprehendi mandavit, tortumque in carcerem includi. Habebat verò idem Maximianus quemdam gladiatorem, Lyæum nomine, de quo gloriabatur, inquiens, neminem fore, qui ſingulari cum illo certamine congreſſus, victor diſcederet. Id ubi reſcivit Neſtor quidam adoleſcentulus, carcerem ad ſanctum Demetrium ingreſſus, ejuſdem precibus ſe commendans, cum Lyæo congreſſus, hominem vicit & occidit. Tulit moleſtiſſimè gladiatoris cædem Maximianus, cujus auctorem fuiſſe Demetrium cùm cognoviſſet, miſit ſtatim qui in carcere eum interficerent. Abeuntes igitur milites lanceis eum in carcere tranſverberarunt: ubi jacens, curationes fundit.

S. Demetrius M.

Digitized by Google



Eodem die

Certamen Sanctorum Martyrum Marci, Soterichi, & Valentinæ.

SS. Marcus, Sotorichus, & Valentina MM.

HI ſancti martyres cùm primum vitam ſuam in nmni pietate tranſegiſſent, Chriſtum omnibus annunciantes, multos infidelium ad Dominum converſos baptizabant in nomine Patris, & Filii, & Spiritus ſancti. Quare cnmprehenſi ab impiis Græcis, multiſque tormentis excruciati, lnngis clavis in corpore confoſſi, humique ſtrati, huc & illuc miſerabiliter à viris, mulieribus, & pueris tandiu raptati, & conculcati fuere, quoad ſanctas & beatas animas Den tradidere. Chriſtianus autem quidam, Terentianus nomine, vir pius, fidelis, Deumque timens, qui viventibus martyribus animum ad ſubeundum martyrium addere, defunctis verò amorem honoremque exhibere cnnſueverat, eorum pretioſas reliquias ex Aſia in Thaſum inſulam tranſlatas, hnnnrificè depoſuit, ubi curationes ad hanc diem fidelibus funduut.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Μάρκου, Σωτηρίχου, καὶ Οὐαλεντίνης.

ΟΥτοι οἱ ἅγιοι Μάρτυρες ἐν πάσῃ εὐσεβείᾳ ζῶντες πρότερον, καὶ τὸν Χριστὸν τοῖς πᾶσι κηρύττοντες, καὶ πολλοὺς τῶν ἀπίστων πρὸς κύριον ἐπιστρέφοντες, καὶ βαπτίζοντες εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἐκρατήθησαν παρὰ τῶν δυσσεβῶν ἑλλήνων, καὶ πολλὰ τιμωρηθέντες, ἥλοις μακροῖς τὰ σώματα κατεκεντήθησαν. Καὶ οὕτως ἑλκόμενοι, καὶ συρόμενοι, καὶ καταπατούμενοι ἀνηλεῶς ἐπὶ τὴν γῆν, ὑπὸ ἀνδρῶν, καὶ γυναικῶν, καὶ παίδων, παρέθεντο τῷ Θεῷ τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχάς. Χριστιανὸς δέ τις, ἀνὴρ εὐλαβὴς, καὶ τὸν Θεὸν φοβούμενος, καὶ τοὺς ὑπὲρ αὐτοῦ μαρτυροῦντας, ζῶντας μὲν θαρσοποιῶν πρὸς τὸ μαρτύριον, τελειωθέντας δὲ ἀγαπῶν καὶ τιμῶν, λαβὼν ἀπὸ τῆς Ἀσίας, τὰ τίμια λείψανα τῶν ἁγίων, καὶ μετακομίσας εἰς Θάσον τὴν νῆσον, κατέθετο ἐντίμως· καὶ βρύουσι μέχρι τῆς σήμερον ἰάματα τοῖς πιστοῖς· ἐκαλεῖτο δὲ ὁ μετακομίσας αὐτὰ πιστὸς ἀνὴρ, Τερεντιανός.



141

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Νέστορος.


Ὁ Μάρτυς Νέστωρ ὑπῆρχεν ἐκ τῆς πόλεως Θεσσαλονίκης ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ. Χριστιανὸς δὲ ὤν, ἀπήρχετο πρὸς τὸν ἅγιον Δημήτριον, ἐν ᾧ ἐκαθέζετο τόπῳ, καὶ ἐδίδασκεν, καὶ ἐμάνθανεν ἀκριβέστερον παρ' αὐτοῦ τὸν λόγον τῆς ἀληθείας. Παρατυχόντος δὲ τοῦ Μαξιμιανοῦ ἐν τῇ Θεσσαλονίκῃ, καὶ ἱπποδρομίαν ἐπιτελοῦντος, καί τινα ἔχοντος ἄνδρα ἐθνικόν, Λύαιον ὀνόματι, μονομάχον, ὑπερμεγέθη καὶ ἰσχυρόν, καὶ πολλοὺς τοὺς ἀνθισταμένων αὐτῷ ἀναιροῦντα ἐν τῷ θεάτρῳ· ἰδὼν ὁ ἅγιος Νέστωρ ἐπλήσθη θείου ζήλου· καὶ ἐπεὶ ἤκουσε τοῦ Μαξιμιανοῦ λέγοντος· εἴτις θέλει, πολεμησάτω, καὶ νικησάτω Λύαιον· τρέχει πρὸς τὸν ἅγιον καὶ βουλεύεται αὐτῷ περὶ τούτου. Καὶ παρ' ἐκείνου στηριχθείς, καὶ δυναμωθεὶς τῇ δυνάμει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀνεῖλε ξίφει τὸν Λύαιον. Θυμωθεὶς οὖν ὁ βασιλεὺς διὰ τοῦτο, ἀπεκεφάλισε τὸν Νέστορα. Καὶ οὕτως ἐτελειώθη, νικήσας τὸν Διάβολον, καὶ τὸν Λύαιον.

Eodem die

Certamen Sancti Martyris Neſtoris.

NEſtor martyr, Theſſalonicæ claruit temporibus Maximiani Imperatoris. Chriſtianus cùm eſſet, frequenter ſanctum Demetrium adibat, ubicumque is moraretur, ab eoque veritatis verbo accuratius inſtitutus, docebat. Cùm autem Theſſalonicæ Maximianus adeſſet, & circenſes ludi committerentur, gladiatoremque gentilem, Lyæum nomine, portentoſa corporis proceritate, & fortitudine in theatrum produxiſſet, qui omnes in certamen deſcendere auſos interficiebat; ſanctus Neſtor zelo divino accenſus, ut audivit Maximianum dicentem, ſiquis vult, congrediatur cum Lyæo, eumque vincat; re cum ſancto Demetrio communicata, ab eo confirmatus, & virtute Domini noſtri Jeſu Chriſti auctus, in arenam deſcendit, Lyæumque gladio ſuſtulit. Quamobrem commotus vehementer Imperator, Neſtorem decollari juſſit. Atque ita finem habuit, de Diabolo ſimul & de Lyæo triumphans.

S. Neſtor Martyr.



Eodem die

Commemoratio magni Terræmotus.

Commemoratio Terræmotus.

ANno vigeſimo quarto Leonis Iſauri Imperatoris, Indictione nona, menſe Octobri, die vigeſima ſexta in feſto Sancti Demetrii, Conſtantinopolis magno & horrendo terræmotu concuſſa eſt, ut ædibus omnibus, eccleſiiſque corruentibus, innumerabilis mortalium multitudo extincta fuerit. Quapropter tremendi hujus terræmotus recordationem agentes, ſupplicationem inſtituimus, procedentes ad immaculatæ & glorioſiſſimæ Dominæ noſtræ Deiparæ, ſemperque Virginis Mariæ auguſtam & ſacram ædem, quæ in Blachernis eſt; ſupplicantes, impensèque precantes tùm ipſam, tùm qui ſine ſemine & corruptione pro nobis peccatoribus ex ea natus eſt, Dominum noſtrum Jeſum Chriſtum rogantes, ut iſtam in nos iram ſuam remittat. Exinde quotannis hujus tribulationis memores, cum gratiarum actione ſolemnem hunc diem celebramus, orantes, ne in hujuſmodi flagellum incidamus.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἀνάμνησις τοῦ μεγάλου Σεισμοῦ.

ΤΩ͂ εἰκοστῷ τετάρτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, ἰνδικτιῶνος ἐννάτης, μηνὶ Ὀκτωβρίῳ, εἰκάδι ἕκτῃ, ἐν τῇ μνήμῃ τοῦ ἁγίου Δημητρίου, ἐγένετο σεισμὸς μέγας, καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει· καὶ κατέπεσον πάντα τὰ οἰκήματα, καὶ αἱ ἐκκλησίαι, καὶ πολλοὶ ἀπέθανον συγχωσθέντες τῇ συμπτώσει. Ὅθεν τὴν ἀνάμνησιν τοῦ τοιούτου φοβεροῦ σεισμοῦ ἑορτάζοντες, λιτανεύομεν, καὶ ἀπερχόμεθα ἐν τῷ τῆς παναχράντου ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μεγάλῳ, καὶ ἱερῷ ναῷ, τῷ ἐν Βλαχέρναις· ἱκετεύοντες καὶ δυσωποῦντες αὐτὴν ἐκτενῶς· καὶ τὸν ἐξ αὐτῆς ἀσπόρως καὶ ἀφθόρως γεννηθέντα δι᾽ ἡμᾶς τοὺς ἁμαρτωλοὺς κύριον ἡμῶν Ἰησοῦν Χριστὸν παρακαλοῦντες ῥύσασθαι ἡμᾶς τῆς δικαίας αὐτοῦ καθ᾽ ἡμῶν κινουμένης ὀργῆς. Ἔκτοτε οὖν μεμνημένοι τῆς τοιαύτης ἀνάγκης, εὐχαρίστως ἑορτάζομεν ἐτησίως τὴν παροῦσαν ἑορτήν· εὐχόμενοι, μὴ τοιαύτῃ περιπεσεῖν ἀπειλῇ.

Digitized by Google



MHNI' ΤΩ̃ Α'ΥΤΩ̃

ΚΖ'.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Καπετωλίνης, καὶ Ἐρωτηΐδος τῆς οἰκέτιδος αὐτῆς.

Ἡ Μάρτυς Καπετωλίνα, ἦν μὲν ἐπὶ Διοκλητιανοῦ βασιλέως· ὑπῆρχε δὲ ἐκ τῆς χώρας Καππαδοκίας· εὐγενὴς πάνυ· Κρατηθεῖσα δὲ, καὶ παραςᾶσα τῷ Ἄρχοντι, ἠρωτήθη ὄνομα, καὶ πόλιν, καὶ γονεῖς. Καὶ ἀπεκρίθη, εἰποῦσα· ὅτι Χριςιανὴ μὲν καλοῦμαι· πόλιν δὲ ἔχω τὴν ἄνω Ἱερουσαλήμ· καὶ πατέρας, τοὺς διδασκάλους τῶν Χριςιανῶν· μεθ᾽ ὧν ἐςὶ τὸν μέγαν Φιρμιλιανὸν, τὸν Καισαρείας τῆς Καππαδοκίας Ἐπίσκοπον. Γενναίως οὖν τὸν Χριςὸν ἀνακηρύξασα, καὶ ἐλέγξασα τὴν ψευδώνυμον πλάνην τῶν εἰδώλων, ἐδέθη καὶ ἀπεκλείσθη ἐν τῇ φυλακῇ. Ἡ δὲ ταύτης δούλη Ἐρωτηΐς ἀκούσασα, ἀπῆλθεν ἐν τῇ φυλακῇ, καὶ κατεφίλει τὰ δεσμὰ τῆς κυρίας αὐτῆς. Ὅθεν ἡ μὲν ἁγία Καπετωλίνα τὴν κεφαλὴν ἀποτέμνεται· ἡ δὲ ἁγία Ἐρωτηΐς πρότερον ἐν πυρὶ βληθεῖσα, καὶ ὑγιὴς ἐξελθοῦσα, καὶ καταναγκασθεῖσα θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, ὕςερον καὶ αὐτὴ ξίφει πληγεῖσα, ἐτελειώθη.

EODEM MENSE

Die Vigeſima ſeptima. 27.

Certamen Sanctæ Martyris Capitolinæ, & Eroteidis ejus ancillæ.

SS. Capitolina, & Eroteis.

Capitolina Martyr, Diocletiano Imperatore, ex Cappadociæ regione fuit, genere clariſſima. Comprehenſa autem, & ad Præfectum adducta, de patria, parentibus, & nomine interrogata: Ego, inquit, Chriſtiana vocor: patriam autem habeo cœleſtem Hieruſalem: at parentes ſunt Chriſtianorum Doctores, & in primis magnus Firmilianus Cæſareæ Cappadociæ Epiſcopus. Igitur cùm generosè Chriſtum prædicaſſet, falſam autem idolorum ſuperſtitionem redarguiſſet, vincta in carcerem detruditur. Quod ubi reſcivit Eroteis ejus ancilla, carcerem ingreſſa, dominæ vincula oſculabatur. Tùm verò Sancta Capitolina capite obtruncatur. Eroteis autem primum in ignem conjecta, & incolumis inde egreſſa; mox impulſa idolis ſacrificare, cùm ad id induci nequiret, gladio trajecta & ipſa occubuit.



EODEM MENSE

28. Die Vigeſima octava.

Certamen Sacroſancti Martyris Cyriaci, qui pretioſam Crucem Sanctæ Helenæ monſtravit.

S. Cyriacus Epiſc. Hieruſalem.

Hic poſtquam pretioſam ac vivificam Crucem monſtravit, Baptiſmum ſuſcepit, & Hieroſolymorum Epiſcopus factus eſt. Vitam autem uſque ad Juliani apoſtatæ tempora produxit: qui ſuſcepta adverſus Perſas expeditione, cùm Hieroſolyma profectus, Sancti geſta didiciſſet, miſit qui illum comprehenſum ad tribunal ſuum adduceret; & conabatur quidem ad idolorum cultum eum pellicere; ſed reprebenſus ab eo, juſſit dexteram illi manum amputari, inquiens; æquum eſt præcidi manum, quæ per literas plurimos à deorum cultu abſtraxit. Deinde liquatum plumbum in os ejus infundi mandavit; mox in grabato æneo candenti eum collocari: ad quem cùm mater ejus veniſſet, corripitur & ipſa, ac de ſublimi capillis appenſa, tandiu dilaniatur, dum animam efflaret. Cyriacus verò in lebetem injectus, & lancea confoſſus occubuit.


ΜΗΝΙ' ΤΩ͂ Α'ΥΤΩ͂

ΚΗ'.

Α'ϑλησις τοῦ ἁγίου Ἱερομάρτυρος Κυριακοῦ, τοῦ φανερώσαντος τὸν τίμιον σταυρὸν ἐπὶ τῆς ἁγίας Ἑλένης.

Οὗτος μετὰ τὸ φανερῶσαι τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν, καὶ βαπτισθῆναι, γέγονε Ἐπίσκοπος Ἱεροσολύμων· καὶ παρέτεινεν ἡ ζωὴ αὐτοῦ μέχρι τῆς βασιλείας Ἰουλιανοῦ τοῦ παραβάτου. Ὅστις κατὰ τῶν Περσῶν πορευόμενος, ἀπῆλθε καὶ εἰς Ἱερουσαλήμ. Καὶ μαθὼν περὶ τοῦ ἁγίου, καὶ ἀποστείλας, καὶ κρατήσας αὐτὸν, παρέστησε τῷ ἰδίῳ κριτηρίῳ. Καὶ ἀναγκάσας αὐτὸν θῦσαι τοῖς εἰδώλοις, ἠλέγχθη ὑπ' αὐτοῦ. Ὅθεν ἐκέλευσε κοπῆναι τὴν δεξιὰν αὐτοῦ χεῖρα, εἰπών· ὅτι σὺ πολλὰς ἐπιστολὰς γράψας μετὰ τῆς χειρὸς ταύτης, πολλοὺς ἀπέστρεψας ἀπὸ τῶν θεῶν. Εἶτα ἐξέχεε μόλυβδον ἐν τῷ στόματι αὐτοῦ. Καὶ μετὰ ταῦτα ἐτέθη ἐν τῷ κραββάτῳ χαλκῷ πυρωθέντι. Ἐλθοῦσα δὲ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ, ἐκρατήθη καὶ αὐτή. Καὶ κρεμασθεῖσα ἐκ τῶν τριχῶν, καὶ ξεομένη, ἀπέθανεν. Εἶτα ἐμβληθεὶς καὶ αὐτὸς εἰς λέβητα, ἐπλήγη μετὰ τοῦ κονταρίου, καὶ ἐτελειώθη.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου Ἰωάννου τοῦ Χοζεβίτου.

Οὗτος γέγονεν ἀπὸ Θηβῶν τῆς Αἰγύπτου, πλουσίων γονέων υἱός. Ἀνὴρ δὲ γενόμενος καθ᾿ ἡλικίαν, ἀκοινώνητος ἔμενε τῆς καθολικῆς ἐκκλησίας, διὰ τὴν ἐν Χαλκηδόνι σύνοδον. Ἐπεθύμησε δέ ποτε ἀπελθεῖν, καὶ προσκυνῆσαι τοὺς σεβασμίους τόπους· καὶ ὁρᾷ καθ᾿ ὕπνους ἑαυτὸν μὲν πολλὰ κοπιῶντα, καὶ ἀγωνιζόμενον εἰσελθεῖν, καὶ προσκυνῆσαι τὸν τίμιον σταυρόν· μὴ δυνάμενον δὲ θύραν εὑρεῖν. Ἀναγκαζομένῳ δὲ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Τοὺς μὴ κοινωνοῦντας τῆς καθολικῆς ἐκκλησίας ὁ σταυρὸς οὐ παραδέχεται. Ὁ δὲ ἔξυπνος γενόμενος, ἐκοινώνησε τῇ καθολικῇ ἐκκλησίᾳ· καὶ παραυτὰ ἐξῆλθεν εἰς τὰς πλησίον ἐρήμους. Καὶ ἔμεινεν ἐν τῷ ὄρει τοῦ Χοζεβᾶ ἕως τέλους, πᾶσαν ἄσκησιν ἐπιδεικνύμενος, καὶ θαύματα ἐπιτελέσας· καὶ πολλοὺς διδάξας μιμεῖσθαι τὴν ἐνάρετον αὐτοῦ πολιτείαν, καὶ τὴν ἄσκησιν, ἐτελειώθη, ταφεὶς ἐν αὐτῷ τῷ ὄρει τῆς ἐρήμου.

Eodem die

Commemoratio Sancti Joannis Chozebitæ.

Hic locupletibus parentibus Thebis Ægypti natus, cùm ad maturam ætatem veniſſet, nullam ſibi cum Eccleſia Catholica communionem eſſe volebat propter Synodum, quæ Chalcedone habita fuit. At cùm aliquando eum ſancta loca viſendi cupido inceſſiſſet, viſus eſt ſibi per quietem multum laborare, omnemque operam adhibere, ut ingrederetur, pretioſamque Crucem adoraret; nec tamen portam invenire poſſe: cùmque idcircò angeretur, vocem audire ſibi dicentem: Crucem contemptui habere eos, quibus nulla eſſet cum Eccleſia Catholica communio. Experrectus igitur, juncta cum Catholicis communione, confeſtim ſe in proximam eremum recepit, atque in Chozeba monte ad mortem uſque conſedit: ubi & ſe ipſum omni virtutum genere exercuit, & miracula patravit. Denique cùm multos ſanctis inſtitutis & religioſis exercitationibus probè exacultos, ad eandem vitæ rationem ineundam allexiſſet, deceſſit, atque in eodem eremi monte ſepultus fuit.

S. Joannes Chozebita.



EODEM MENSE

29. Die Vigeſima nona.

Commemoratio Sancti Patris noſtri Abramii.

S. Abramius.

SAnctus Abramius Chriſtianis parentibus natus, uxore, quam invitus duxerat, propter Chriſtum dimiſſa, ſolitudinis ſtudio ſeſe in anguſtam domunculam abdidit, ubi complures annos commoratus, Presbyter ordinatur. Cùmque è vita exceſſiſſet frater, relicta puella annos ſeptem ingreſſa, illam Sanctus ſecum abductam in altera ſuæ propinqua cellula incluſit. Quæ cùm vigeſimum ætatis annum ageret, diaboli invidia in fornicationem lapſa eſt, & in meritorio etiam hoſpitio cum meretricibus habitabat. Quod ubi reſcivit Sanctus, ſumpto militari babitu è cella egreſſus, & conſcenſo equo, à lapſu illam retraxit, & in propriam cellulam reduxit, quæ tantam ac talem pœnitentiam exhibuit, ut & prodigia fecerit; atque ita vitam finivit. Sanctus verò Abramius in ſumma ſenectute obdormivit.


ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΘʹ.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἀβραμίου.

Ο῾ Ὅσιος Ἀβράμιος, ἦν μὲν Χριστιανῶν υἱός. Συνεζεύχθη δὲ ἀβουλήτως γυναικί. Διὰ δὲ τὸν Χριστὸν καταλιπὼν αὐτὴν, καὶ ἀναχωρήσας, ἀπέκλεισεν ἑαυτὸν εἰς μικρὸν οἴκημα χρόνους πολλούς. Εἶτα χειροτονεῖται πρεσβύτερος. Τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ καταλιπόντος παιδίον θηλυκὸν, ὡσεὶ χρόνων ἑπτὰ, ἀνελάβετο αὐτὸ ὁ ἅγιος· καὶ πλησίον τοῦ κελλίου αὐτοῦ εἰς ἕτερον κέλλιον ἀπέκλεισεν. Ἐν τῷ εἰκοστῷ δὲ χρόνῳ τῆς ἡλικίας αὐτῆς, συνέβη φθόνῳ τοῦ δαίμονος περιπεσεῖν αὐτὴν πορνείᾳ. Εἶτα καὶ ἐν πανδοχείῳ ἀπελθεῖν μετὰ πορνῶν. Γνοὺς δὲ ὁ ἅγιος, καὶ στρατιώτου σχῆμα φορέσας, καὶ τοῦ κελλίου αὐτοῦ ἐξελθὼν, καὶ ἐπιβὰς ἵππου, τοῦ πτώματος ταύτην ἐξήρπασε, καὶ τῷ ἰδίῳ κελλίῳ ἀποκατέστησε. Καὶ τοιαύτην μετάνοιαν ἐπεδείξατο, ὡς καὶ σημεῖα ποιῆσαι, καὶ οὕτω τελειωθῆναι. Ἐκοιμήθη δὲ καὶ ὁ ὅσιος Ἀβράμιος ἐν βαθυτάτῳ γήρᾳ.

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Κλαυδίου, Ἀστερίου, Νέωνος, καὶ Θεονίλλης.

ΟΥ̓͂τοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, καὶ Λυσίου ἡγεμόνος τῆς Κιλικίας· νέοι μὲν τὴν ἡλικίαν, ἀδελφοὶ δὲ νόμιμοι. Μητρυιὰν οὖν ἔχοντες, καὶ τὴν γονικὴν αὐτῶν ὕπαρξιν ζητοῦντες, ἀπῆλθον ἐν Μοψουεστίᾳ τῇ πόλει, δικάσασθαι ἐπὶ τοῦ ἡγεμόνος. Ἡ δὲ μητρυιὰ μὴ θέλουσά τι ἀποδοῦναι αὐτοῖς, διέβαλλεν αὐτοὺς ὡς Χριστιανούς. Καὶ κρατηθέντες καὶ ἐρωτηθέντες, ὡμολόγησαν τὸ ὄνομα τοῦ Χριστοῦ παῤῥησίᾳ. Ὅθεν εἰσαχθέντες ἐν τῷ θεάτρῳ, καὶ γυμνοὶ κρεμασθέντες, ἐτιμωρήθησαν, καὶ ἐξέσθησαν ἰσχυρῶς. Εἶτα μετὰ πολλὰς πικρὰς, καὶ διαφόρους βασάνους, δήσαντες αὐτοὺς οἱ στρατιῶται εἰς μίαν ἅλυσιν, ἀπήγαγον ἔξω τοῦ τείχους τῆς πόλεως· καὶ ἐπὶ ξύλων κρεμάσαντες, καὶ ἥλοις προσηλώσαντες ἐφόνευσαν. Εἶτα προσήχθη καὶ ἡ ἁγία Θεονίλλα· καὶ κρεμασθεῖσα καὶ αὐτὴ ἀπὸ τῶν τριχῶν, καὶ τυπτομένη ῥάβδοις ἐπὶ πολλαῖς ταῖς ὥραις, ἀπέδωκε τὸ πνεῦμα αὐτῆς τῷ Κυρίῳ.

Eodem die

Certamen Sanctorum Martyrum Claudii, Aſterii, Neonis, & Theonillæ.

HI Diocletiano Imperatore, & Lyſia Ciliciæ Præfecto, ætate juvenes, & germani fratres, novercam habentes, in urbem Mopſveſtiam profecti ſunt, ut facultates paternas recuperarent, & lite, ac judicio coram Præfecto perſequerentur. At noverca, nequid illis daret, detulit eos ut Chriſtianos. Quare comprehenſi, & interrogati, Chriſti nomen liberè confeſſi ſunt. Unde in theatrum perducti, nudatique, in equuleum rapiuntur, fuſtibuſque torquentur, & acerbiſſimè depectuntur. Tùm multis aliis ſuppliciis crudeliter vexati, una omnes à militibus conſtricti catena, & extra urbis mœnia educti, lignis ſuſpenſi, & clavis confixi, mortem occubuere. Poſt hos Sancta Theonilla adducta, & in ſublime capillis ſublata, virgis per multas horas cæditur, donec ſpiritum Domino reddidit. SS. Claudius, Aſterius, Neon, & Theonilla.

MHNI' EO-



EODEM MENSE

30. Die Trigeſima.

Certamen Sancti Martyris Epimachi.

S. Epimachus M.

EPimachus Martyr, vir literarum expers & ignarus, ſed facie liberali & decora, ex Ægypti regione fuit. Chriſtianus autem cùm eſſet, & Præfectum regionis videret in Sanctos Martyres tormentis in urbe Alexandriæ debacchari, ægerrimè id tulit. Quamobrem quadam die, cùm Præfectus Sanctos ad idolorum ſacrificia compelleret, & ara coram propoſita eſſet, Epimachus divino zelo inflammatus, impetu facto aram ſubvertit. Unde comprehenſus cuſtodiæ traditur. Sed nec in vinculis finem faciebat Sanctos cohortandi ad ſubeundum fortiter pro Chriſto martyrium. Educti igitur Sancti de carcere cùm Præfectum objurgarent, interrogavit ille, unde tantos ſibi animos ſumpſiſſent. Cùmque cognoviſſet, hujus rei auctorem Epimachum fuiſſe, in ſublime correptum dilaniari juſſit: cujus ſanguis cùm in alterum extinctum oculum ſubiectæ cujuſdam puellæ, quæ unum oculum habens, Sanctum intuebatur, ejuſque fatum deplorabat, defluxiſſet, lucem illi protinus reſtituit. Quare furore percitus Præfectus, illum decollari mandavit, atque ita vitam finivit.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

Λ'.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ἐπιμάχου.

ἘΠίμαχος ὁ Μάρτυς, ὢν μὲν ἀνὴρ ἰδιώτης, ὡραῖος δὲ τῇ ὄψει, ὑπάρχων ἐκ τῆς χώρας Αἰγύπτου. Χριστιανὸς δὲ ὤν, καὶ θεωρῶν τὸν τῆς χώρας Ἄρχοντα βασανίζοντα τοὺς ἁγίους Μάρτυρας ἐν Ἀλεξανδρείᾳ τῇ πόλει, ἠλυπεῖτο. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν, καταναγκάζοντος τοῦ Ἄρχοντος τοὺς ἁγίους θῦσαι τοῖς εἰδώλοις, καὶ τοῦ βωμοῦ προκειμένου, ζήλου θείου πλησθεὶς ὁ Ἐπίμαχος, ὥρμησε καταστρέψαι τὸν βωμόν. Ὅθεν κρατηθεὶς παρεδόθη τῇ φυλακῇ. Ἀλλὰ καὶ ἐκεῖ παρεκάλει τοὺς ἁγίους, προθύμως ὑπὲρ Χριστοῦ μαρτυρεῖν. Ἐκβληθέντων δὲ τῶν ἁγίων τῆς φυλακῆς, καὶ τὸν Ἄρχοντα ἐλεγξάντων, ἠρώτησεν ὁ Ἄρχων, ἔτι πόθεν ἐκτήσαντο τὴν παῤῥησίαν. Καὶ μαθὼν, ὅτι ἐκ τοῦ Ἐπιμάχου, κρεμάσας αὐτὸν ἔξεσεν. Ἱσταμένης δὲ κάτωθεν μονοφθάλμου κόρης, καὶ βλεπούσης αὐτὸν, καὶ θρηνούσης, ἐπέσταξεν αἷμα εἰς τὸν ἐσβεσμένον αὐτῆς ὀφθαλμὸν, καὶ εὐθὺς ἀνέβλεψε. Καὶ θυμωθεὶς ὁ Ἄρχων, ἀπεκεφάλισεν αὐτὸν, καὶ οὕτως ἐτελειώθη.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Εὐτροπίας.

Ἡ Μάρτυς Εὐτροπία ἦν ἀπὸ Ἀλεξανδρείας τῆς Αἰγύπτου. Ἐπεὶ δὲ πλῆθος Μαρτύρων ἐν τῇ φυλακῇ τῆς αὐτῆς πόλεως ἀποκέκλειστο, ἐλεοῦσα αὐτούς, ποτὲ μὲν ἀπήρχετο, καὶ ἐπεσκέπτετο, ποτὲ δὲ ἀπέστελλεν αὐτοῖς τὰ πρὸς τὴν χρείαν. Οὕτω δὲ ποιοῦσα, διεβλήθη τῷ ἡγεμόνι Ἀπελλιανῷ. Ὁ δὲ κρατήσας αὐτὴν, ἐνέκλεισεν εἰς φυλακήν. Εἶτα ἐκβαλὼν αὐτὴν, παρέστησε τῷ βήματι αὐτοῦ· καὶ ὁμολογήσασαν τὸν Χριστὸν ἐκρέμασε. καὶ λαμπάσι κατέκαιεν. Ἥτις καιομένη ἐβόα πρὸς τοὺς τιμωροῦντας δημίους, καὶ ἔλεγε. Μεγάλη ἡ ψυχρότης τοῦ ὕδατος τούτου, ὅπερ μοι ἐπιχέετε. Τὰς γὰρ φλόγας, ὡς ὕδωρ ἐλογίζετο· καὶ διεβεβαιοῦτο ὁρᾶν ἄνδρα φοβερὸν ὅμοιον υἱῷ τοῦ Θεοῦ. Ὅντινα καὶ οἱ στρατιῶται ἔβλεπον, καὶ πάντες οἱ παρεστῶτες. Τοιαῦτα λέγουσα, καὶ εὐχαριστοῦσα Χριστῷ, δι᾽ ὃν τὰς τοιαύτας ἀλγηδόνας προθύμως ὑπέμενε, παρέδωκεν αὐτῷ τὴν μακαρίαν αὐτῆς ψυχήν.

Eodem die

Certamen Sanctæ Martyris Eutropiæ.

Eutropia martyr Alexandriæ Ægypti nata, cùm ingens Martyrum numerus in eadem urbe in vinculis eſſet, eorum miſerta, nunc quidem præſens ipſa illos viſitabat, nunc verò per alios iis neceſſarios ſumptus ſuppeditabat. Quamobrem delata ad Apellianum præfectum, comprehenſa in carcerem detruditur. Inde educta, tribunali ejus ſiſtitur: & Chriſtum profeſſa, in equuleum agitur, & facibus aduritur: quo in tormento elata tortores voce inclamans, ajebat: magnam mihi refrigerationem affert, quam infunditis, aqua. Flammas quippe velut aquas cenſebat, affirmabatque, terribilem ſe intueri virum Filio Dei ſimilem, quem etiam milites, & quotquot aderant, viderunt. Hæc dicens, & gratias Chriſto agens, pro quo hujuſmodi cruciatus libenter perferebat, beatam illi animam reddidit. S. Eutropia M.



EODEM MENSE

31. Die Trigeſima prima.

Certamen ſacroſancti Martyris Zenobii, & Zenobiæ ſororis ejus.

SS. Zenobius, & Zenobia.

Zenobius martyr Diocletiano Imperatore, Zenodoto & Thecla Chriſtianis parentibus natus, ſororem Zenobiam habuit. Cùm autem ætate ſimul, & Dei cognitione, atque pietate proficeret, Epiſcopus urbis Ægææ, ubi natus fuerat, ordinatur. Multas verò in Chriſti nomine curationes faciebat, ut vel eos, qui medicis inſanabiles erant, morbos curaret. Comprehenſus itaque, Lyſiæ præfecto ſiſtitur. Quod ubi reſcivit Zenobia ſoror, ſeipſam ſponte obtulit. Igitur primum cæſi, & lecto ferreo candenti impoſiti; deinde in ferventem lebetem pice plenum injecti, atque ex his omnibus tormentis divina gratia erepti, compelluntur iterùm, qua erat Præfectus dementia, impuris dæmoniis ſacrificare. Sed cùm in propoſito permanerent, gladio finem accepere: atque ita martyrium conſummarunt.

ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΛΑ'.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Ζηνοβίου, καὶ τῆς ἀδελφῆς αὐτοῦ Ζηνοβίας.

Ὁ Μάρτυς Ζηνόβιος, ὑπῆρχε μὲν ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ· υἱὸς Ζηνοδότου καὶ Θέκλης Χριστιανῶν ὑπαρχόντων. Εἶχε δὲ καὶ ἀδελφὴν καλουμένην Ζηνοβίαν· Προκόψας δὲ εἰς ἡλικίαν, καὶ εἰς τὴν κατὰ Θεὸν γνῶσιν καὶ εὐσέβειαν, Ἐπίσκοπος προχειρίζεται τῆς Αἰγαίων πόλεως, ἐν ᾗ καὶ ἐγεννήθη. Πλείστας δὲ ἰάσεις ἐπετέλει ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, ὡς καὶ τὰ παρὰ τῶν ἰατρῶν ἀπηγορευμένα πάθη θεραπεύειν. Οὗτος κρατηθεὶς παρέστη τῷ ἡγεμόνι Λυσίᾳ. Καὶ μαθοῦσα τοῦτο ἡ ἀδελφὴ αὐτοῦ Ζηνοβία ἐπέδωκεν ἑαυτὴν ἑκουσίως. Τύπτονται οὖν, καὶ ἐπὶ κλίνης σιδηρᾶς πεπυρακτωμένης ἐφαπλοῦνται· καὶ εἰς λέβητα ζέοντα καὶ γέμοντα πίσσης ἐμβάλλονται. Ῥυσθέντες δὲ τῇ τοῦ Θεοῦ χάριτι τῶν τοιούτων βασάνων, πάλιν ἀναγκάζονται θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν, ἀπονοίᾳ τοῦ δικάζοντος. Μὴ πεισθέντες δὲ, τὴν διὰ ξίφους ἐδέξαντο τελευτήν. Καὶ οὕτως ἐτελειώθησαν.

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῶν ἁγίων Ἀποστόλων Στάχυος, Ἀμπλία, Οὐρβανοῦ, καὶ τῆς συνοδίας αὐτῶν.

Ὁ Ἅγιος Ἀπόστολος Στάχυς, Ἐπίσκοπος προχειρίζεται τοῦ Βυζαντίου παρὰ Ἀνδρέου τοῦ ἁγιωτάτου Ἀποστόλου, κτίσαντος ἐκκλησίαν πέραν ἐν Ἀργυροπόλει· ἐν ᾧ καὶ συνηθροίζοντο Χριστιανοί, τὸν ἀριθμὸν δυσχίλιοι. Καὶ διδάσκων αὐτοὺς, ἐκράτησεν ἐπὶ ἔτη δεκαέξ. Καὶ ἐκοιμήθη ἐν εἰρήνῃ. Ὁ δὲ Ἀμπλίας Ἐπίσκοπος τῆς Ὀδυσσουπόλεως ἐγένετο, χώρας Μακεδονίας, ἀναιρεθεὶς ὑπὸ ἑλλήνων. Ὁ δὲ Οὐρβανὸς Ἐπίσκοπος Μακεδονίας ἐγένετο, φονευθεὶς καὶ αὐτὸς ὑπό τε Ἰουδαίων καὶ ἑλλήνων μετὰ καὶ ἑτέρων πολλῶν. Καὶ οὕτως ἐν ἡμέρᾳ μιᾷ οὕτω συμβάντος, διαφόρως βασανισθέντες ἐν διαφόροις


Eodem die

Commemoratio Sanctorum Apoſtolorum Stachys, Ampliæ, Urbani, & ſociorum.

SAnctus Apoſtolus Stachys ab Andrea ſanctiſſimo Apoſtolo Epiſcopus Byzantii ordinatur, cùm eccleſiam Argyropoli ædificaſſet, in qua Chriſtianorum duo millia conveniebant, eoſque Stachys docebat. Tenuit autem Epiſcopatum ad annos ſexdecim, & in pace obdormivit. Amplias autem Epiſcopus Ulyſſipoleos, quæ eſt in Macedonia, à Græcis interemptus eſt. Urbanus verò Macedoniæ Epiſcopus & ipſe à Judæis & Græcis unà cum pluribus aliis occiſus: atque ita uno eodemque die contigit, ut alii alia ratione in diverſis locis, & geutibus, ac civitatibus excruciati ab iis, qui Deum ignorabant, Græcis & gentibus, felices Domino animas tradiderunt: quorum pretioſæ reliquiæ Con- SS. Stachys, Amplias, Urbanus, & ſocii.

ſtantinopolim poſtea translatæ, in eo, qui Fons dicitur, loco depoſitæ fuerunt.

φόροις τόποις, καὶ ἔθνεσι, καὶ πόλεσι παρὰ τῶν μὴ γινωσκόντων τὸν Θεὸν ἑλλήνων τε, καὶ ἐθνικῶν, παρέδωκαν τὰς μακαρίας αὐτῶν ψυχὰς τῷ Κυρίῳ. Τὰ δὲ τίμια λείψανα αὐτῶν ὕστερον μετακομισθέντα ἐν Κωνσταντινουπόλει, ἐτέθησαν ἐν ταῖς λεγομέναις πηγαῖς.



MENOLOGII GRÆCORUM
MENSIS NOVEMBER.

ΜΗΝΙ ΝΟΕΜΒΡΙΩ

Ἐν τῇ Πρώτῃ.

Ἡ κοίμησις τῶν ἁγίων ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, τῶν υἱῶν τῆς ἁγίας Θεοδότης.

Κοσμᾶς καὶ Δαμιανὸς, οἱ ἅγιοι ἀνάργυροι, ὑπῆρχον υἱοὶ γυναικὸς τινὸς Χριστιανῆς, ὀνόματι Θεοδότης· διδαχθέντες μὲν παρ᾽ αὐτῆς τὴν ὀρθὴν πίστιν, καὶ τὰ ἱερὰ γράμματα· παρὰ δὲ τοῦ ἁγίου Πνεύματος τὴν ἰατρικὴν τέχνην. Καὶ ἰάτρευον οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ κτήνη, μισθὸν παρά τινος μὴ λαμβάνοντες. Ἐθεράπευσαν δὲ καὶ γυναῖκα τινὰ ὀνόματι Παλλαδίαν. Ἥτις κρύφα προσδρα-

MENSE NOVEMBRI

Die Prima. I.

Dormitio Sanctorum Anargyrorum Coſmæ & Damiani, filiorum ſanctæ Theodotæ.

Coſmas, & Damianus ſancti Anargyri fuere filii cujuſdam Chriſtianæ mulieris, nomine Theodotæ: à qua rectam fidem, ſacraſque literas; medicam autem artem à ſancto Spiritu edocti, curandis non hominibus tantum, ſed & jumentis operam ſuam nulla mercede adhibebant. Cùm verò feminam quamdam nomine Palladiam curaſſent, hæc ad ſanctum Damianum clam accedens, tria illi ova obtulit. Quod ubi reſcivit ſanctus Coſmas, præcepit, ne Damiani reliquias SS. Coſmas, & Damianus.



152

quias prope ſe poſt mortem collocarent. Mortuo igitur prius Coſma, deinde Damiano, deliberante populo, ubinam ſepeliendus eſſet Damianus, repente camelus, qui à dæmone confractus, ſanatus à ſanctis fuerat, voce humana edixit, Damiani reliquias eodem, quo Coſmas, ſepulcro condi debere, cùm non mercedis loco, ſed juramento adactus ova accepiſſet. Atque ita ambo ſimul ſepulti fuere.

δραμοῦσα τῷ ἁγίῳ Δαμιανῷ, προσέφερεν ᾠὰ τρία. Καὶ τοῦτο ἀκούσας ὁ ἅγιος Κοσμᾶς, παρήγγειλε, μὴ τεθῆναι τὸ λείψανον Δαμιανοῦ ἐν τῇ τελευτῇ αὐτοῦ μετ' αὐτοῦ. Ἐκοιμήθη δὲ πρότερον ὁ ἅγιος Κοσμᾶς· καὶ μετὰ ταῦτα τελευτήσαντος Δαμιανοῦ, διελογίζετο ὁ λαὸς, ποῦ θάψει αὐτόν. Καὶ ἐξαίφνης κάμηλος δραμοῦσα ἡ κλασθεῖσα παρὰ τοῦ διαβόλου, καὶ ἰαθεῖσα παρὰ τῶν ἁγίων, ἐλάλησεν ἀνθρωπίνῃ φωνῇ, τεθῆναι τὸ λείψανον μετὰ τοῦ ἁγίου Κοσμᾶ· ὅτι οὐκ εἰς μισθὸν ἔλαβε τὰ ᾠά· ἀλλὰ διὰ τὸν ὅρκον. Καὶ οὕτως ἐτέθησαν ἀμφότεροι.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων γυναικῶν Κυριαίνης, καὶ Ἰουλιανῆς.


Κυριαίνη ἡ Μάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ πόλεως Ταρσοῦ τῆς Κιλικίας· ἥτις ὑπὸ τοῦ ἡγεμόνος τῆς αὐτῆς πόλεως κρατηθεῖσα, καὶ πολλὰ ἀναγκασθεῖσα ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεῖσα, ξυρίζεται τὴν κεφαλὴν σὺν ταῖς ὀφρύσι· καὶ πιττάκιον ὕβρεων γέμον περιτίθεται ἐν τῷ μετώπῳ. ὄνῳ τε ἐπιβιβασθεῖσα, μετὰ ναρθηκίων ὑπὸ σχολαστῶν παίδων ἐτύπτετο· καὶ ὑπὸ μίμων, καὶ ἀτάκτων στρατιωτῶν τὴν Ταρσὸν πόλιν γυμνὴ περιήγετο. Εὐξαμένη δὲ μὴ ὁρᾶσθαι γυμνὴ, ὑπὸ θείας χάριτος ἐσκεπάσθη. Καὶ οὐκ ἐβλέπετο τοῖς εἰδωλολάτραις. Μετὰ δὲ τὸ οὕτως τιμωρηθῆναι ἀχθεῖσα ἐν πόλει Ῥαιδεστῷ, μετὰ καὶ ἑτέρας γυναικὸς Χριστιανῆς, Ἰουλιανῆς καλουμένης, καὶ ἐκ τῆς αὐτῆς πόλεως ὑπαρχούσης, πυρὶ παρεδόθη. Καὶ ἀμφότεραι ἐν τῇ καμίνῳ δοξάζουσαι τὸν Θεὸν, καὶ εὐχαριστοῦσαι αὐτῷ, τὰς μακαρίας αὐτῶν ἀφῆκαν ψυχάς.

Eodem die

Certamen Sanctarum mulierum Martyrum Cyriænæ, & Julianæ.

Cyriæna martyr, Maximiano Imperatore, ex Tarſo Ciliciæ urbe fuit. A præfecto autem ejuſdem urbis comprehenſa, cùm variis modis cogeretur Chriſtum abnegare, & idolis ſacrificare, conſtantiſſima in propoſito permanſit. Quamobrem tonſo capite & ſuperciliis, fronteque pittacio contumeliis pleno obducta, aſino impoſita, ab otioſis pueris cædebatur ferulis, atque à mimis & petulantibus militibus nuda per urbem Tarſum circumducebatur. Quæ cùm oraſſet, ne nuda conſpiceretur, divino beneficio obtecta, idololatrarum oculos fallebat. Poſt hos cruciatus in urbem Rhædeſtum adducta unà cum altera Chriſtiana muliere, Juliana nomine, quæ ex eadem urbe erat, inque ignem injecta, ambæ in camino Deum glorificantes, eique gratias agentes, beatas animas reddidere.

SS. Cyriæna, & Juliana MM.



Eodem die

Certamen Sanctorum Martyrum Joannis Epiſcopi, & Jacobi Presbyteri, cognomento Zelotæ.

SS. Joannes Epiſc. & Jacobus Presb.


HI, Sapore Perſarum rege, in Perſide verbum fidei docebant, multoſque ab idolis ad Dominum convertebant. Quadam autem die cùm Joannes Epiſcopus in ſomnis vidiſſet carnificem coronam, quam in enſis capulo circumferebat, capiti ſuo imponentem, ſibique hæc dicentem: Accipe, ò Epiſcope, quam tantopere expetiſti coronam: paucis poſt diebus comprehenditur ab infidelibus ipſe, & Jacobus Presbyter: qui variis primum cruciatibus tentati, gladio deinde cæſi, occubuere, gratias Domino Deo noſtro ad extremum agentes, quod digni fuiſſent mortem pro ipſo oppetere. Atque ita Epiſcopo accidit, quod in ſomnis viderat, incorruptibilis vitæ coronam conſecuto. A fidelibus autem piiſque viris in eodem loco honorifice ſepulti ſunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἰωάννου Ἐπισκόπου, καὶ Ἰακώβου πρεσβυτέρου τοῦ ἐπικαλουμένου Ζηλωτοῦ.

Οὗτοι ὑπῆρχον ἐπὶ Σαβωρίου τοῦ Περσῶν βασιλέως· ἐν Περσίδι διδάσκοντες τὸν λόγον τῆς πίστεως, καὶ πολλοὺς ἐπιστρέφοντες ἀπὸ τῶν εἰδώλων ἐπὶ τὸν Κύριον. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἐθεάσατο ὁ Ἐπίσκοπος Ἰωάννης καθ᾽ ὕπνους ἄνδρα τινὰ δήμιον, κατέχοντα σπαθίον, ὅπερ ἐν τῷ ἄκρῳ εἶχε στέφανον· ὅστις δήμιος δραμὼν ἐπὶ τὸν Ἐπίσκοπον, ἐπέθηκεν ἐν τῇ κεφαλῇ αὐτοῦ τὸν στέφανον, εἰπών. Λάβε ὦ Ἐπίσκοπε στέφανον, οὗ ἐπεθύμησας· καὶ μετ᾽ ὀλίγας ἡμέρας ἐκρατήθη παρὰ τῶν ἀπίστων καὶ αὐτὸς, καὶ Ἰάκωβος ὁ πρεσβύτερος. Καὶ πολλὰ τιμωρηθέντες πρότερον, καὶ διαφόροις βασάνοις προσομιλήσαντες, ὕστερον διὰ ξίφους ἐτελειώθησαν· εὐχαριστοῦντες κυρίῳ τῷ Θεῷ ἡμῶν μέχρι θανάτου, ὅτι ὑπὲρ αὐτοῦ θανεῖν ἠξιώθησαν. Καὶ ἀπέβη τῷ Ἐπισκόπῳ τὰ τοῦ ὀνείρου, ἀπολαβόντι τὸν στέφανον τῆς ἀφθάρτου ζωῆς· ἐτάφησαν δὲ ἐντίμως ἐν ταυτῷ ὑπὸ πιστῶν καὶ εὐλαβῶν ἀνδρῶν.

Digitized by Google



ΜΗΝΙ Τῼ͂ ΑΥΤῼ͂

Βʹ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἀνεμποδίστου, Ἐλπιδηφόρου, καὶ τῆς συνοδίας αὐτῶν.

Τούτων τῶν ἁγίων ὁ μὲν Ἀκίνδυνος, Πηγάσιος, καὶ Ἀνεμπόδιστος ὑπῆρχον ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, ἐκ τῆς χώρας Περσῶν· ἐν ἰδιάζοντι δὲ κελλίῳ καθεζόμενοι, ἐδίδασκον τὸν λόγον τοῦ Θεοῦ. Καὶ κρατηθέντες ὑπὸ Σαβωρίου τοῦ Περσῶν βασιλέως, ἐβασανίζοντο· ἀλλὰ διὰ προσευχῆς ἄλαλον ποιοῦσι τὸν βασιλέα, καὶ πάλιν θεραπεύουσιν. Εἶτα ἐνεβλήθησαν εἰς λέβητας γέμοντας μολύβδου καὶ κοχλάζοντας· καὶ ἐξῆλθον ἀβλαβεῖς. Ἀφθόνιος δὲ στρατιώτης ὤν, ἰδὼν τὸ θαῦμα ἐπίστευσε τῷ Χριστῷ. Καὶ ἔξω τειχῶν ἀπεκεφαλίσθη. Εἶτα ἐμβάλλονται εἰς θυλάκους βοείους· καὶ ῥίπτονται εἰς θάλασσαν. Καὶ φανεὶς ὁ ἅγιος Ἀφθόνιος σὺν Ἀγγέλοις, ἐξήγαγεν αὐτοὺς ἐπὶ τῆς ξηρᾶς. Καὶ διότι ἐξῆλθον, χειροκοποῦνται οἱ ῥίψαντες αὐτοὺς στρατιῶται. Ὁ δὲ συγκλητικὸς Ἐλπιδηφόρος ἰδὼν, ἀντέστη τῷ βασιλεῖ, καὶ σὺν αὐτῷ ἐπίστευσαν ἑπτακισχίλιοι ἄνδρες, καὶ ἀπεκεφαλίσθησαν· ὑπελείφθησαν δὲ ἕτεροι ΚΗʹ. μετὰ τῆς μητέρος Σαβωρίου πιστευσάσης, καὶ πυρὶ παρεδόθησαν.

Τῇ


EODEM MENSE

Die Secunda. 2.

Certamen Sanctorum Martyrum Acindyni, Pegaſii, Aphthonii, Anempodiſti, Elpidephori, & ſociorum.

HOrum ſanctorum Acindynus quidem, Pegaſius, & Anempodiſtus, Conſtantino Magno Imperatore, ex regione Perſarum fuerunt. Cùm autem in cellulis ſuis degerent, verbum Dei docebant. Quamobrem à Sapore Perſarum rege comprehenſi, cruciatibus ſubjecti fuere: quem cùm precibus mutum reddidiſſent, reſtituta poſtea linguæ facultate, in lebetes ferventi plumbo plenos injiciuntur: Sed incolumes inde egreſſi, Aphthonium militem rei miraculo vehementer commotum ad Chriſti fidem traxere, qui ſtatim extra mœnia eductus, & capite obtruncatus eſt. Illi verò bubulo ſacco inſuti, in mare projecti ſunt; quos ſanctus Aphthonius unà cum Angelis apparens, in continentem eduxit: & quia naufragium evaſerant, militibus, qui illos in mare præcipites egerant, manus præciduntur. Elpidephorus autem ſenatorii ordinis vir his miraculis impulſus, regem objurgavit: & cum eo credidere ſepties mille homines, qui omnes capite damnati ſunt. Qui verò reliqui fuere viginti octo viri unà cum Saporis matre, quæ Chriſti fidem amplexa fuerat, igni abſumpti ſunt.

SS. Acindynus, Pegaſius, Aphthonius, Anempodiſtus, Elpidephorus, & ſocii.



Eodem die

Certamen Sanctorum Martyrum Attici, Eudoxii, Agapii, & ſociorum.


SS. Atticus, Eudoxius, Agapius, & ſocii MM.

Iſti Sancti milites fuere in urbe Sebaſte temporibus Licinii Imperatoris: qui id omnes conſilii cepere, ut cum omnibus militibus in fide Chriſti manerent. Quare à Marcello Duce cruciati, in carcerem detruduntur. Inde eductis tergum, & renes nervis crudeliſſimè lacerantur, denteſque evelluntur. Cùm autem torquerentur, converſus Dux ad ſanctum Carterium: Tu ſolus, inquit, auſus es populum à fide Imperatoris abductum ad defectionem impellere? Cui ille: Ego populo auctor fui, non ut à fide Imperatoris diſcederet, ſed ut immortalem Regem Chriſtum ſequeretur. Poſt hæc adducitur Styracius, Tobias, & Nicopolitianus: cùmque in Chriſti confeſſione perſeverarent, Marcelli juſſu lignis contuſi, aliiſque pluribus tormentis excruciati, unà cum multis aliis, qui in Chriſtum crediderant, igni damnati vitam finierunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἀττικοῦ, Εὐδοξίου, Ἀγαπίου, καὶ τῆς συνοδίας αὐτῶν.

Οὗτοι οἱ ἅγιοι, στρατιῶται ὑπῆρχον ἐν τῇ πόλει Σεβαστείᾳ, ἐπὶ Λικιννίου τοῦ βασιλέως. οἵτινες συνεβούλευον πάσῃ τῇ στρατιᾷ ἐμμένειν τῇ πίστει τοῦ Χριστοῦ. Διὸ βασανίζονται ὑπὸ Μαρκέλλου τοῦ Δουκός. Εἶτα ἐμβάλλονται εἰς φυλακήν. Ἐκβληθέντες δὲ τύπτονται κατὰ νώτου καὶ κοιλίας βουνεύροις ὠμοῖς. Εἶτα ἐκριζοῦνται τοὺς ὀδόντας. Τιμωρουμένων δὲ ἔλεγεν ὁ δοὺξ πρὸς τὸν ἅγιον Καρτέριον, ὅτι σὺ μόνος ἀπέστησας τὸν λαὸν τῆς τοῦ βασιλέως ὑποταγῆς. Ὁ δὲ ἔλεγεν· ὅτι οὐ συνεβούλευσα τῷ λαῷ ἐπαναστῆναι τῷ βασιλεῖ, ἀλλὰ προσελθεῖν τῷ ἀθανάτῳ βασιλεῖ Χριστῷ. Μετὰ ταῦτα ἄγεται Στυράκιος καὶ ὁμολογεῖ τὸν Χριστόν· καὶ αὖθις Τωβίας· εἶτα Νικοπολιτιανός· καὶ κατακρίνονται ξύλοις συντριβῆναι. Καὶ μετὰ ταύτην τὴν βάσανον, καὶ ἑτέρας πλείονας ἀλγηδόνας ὑπομείναντες, μετὰ καὶ ἄλλων πολλῶν, τῶν πιστευσάντων εἰς Χριστόν, τέλος τὴν διὰ τοῦ πυρὸς ἀπόφασιν ἔλαβον. Καὶ οὕτως ἐτελειώθησαν.



ΜΗΝΙ ΤΩ͂ ΑΥΤΩ͂

ΚΓ'.

Α῎θλησις τ῀ ἁγίων Μαρτύρων Ἀκεψιμᾶ Ἐπισκόπȣ, Ἰωσὴφ Πρεσβυτέρȣ, καὶ Ἀειθαλᾶ Διακόνȣ.

ΚΑΙ' ȣ῟τοι οἱ ἅγιοι ἐν Περσίδι ἐμαρτύρησαν ὑπὸ Σαβωρίȣ τȣ͂ τυράννȣ, ἐπὶ Κωνςαντίνȣ τȣ͂ μεγάλȣ βασιλέως Ῥωμαίων. Ἦν ȣ῏ν ὁ ἅγιος Ἀκεψιμᾶς Ἐπίσκοπος λευκὸς τὴν τρίχα, γέρων γεγονὼς ἐτῶν ὀγδοήκοντα, συνεςὼς ἔτι ἔχων τὸ σῶμα· εὐμήκης καὶ ὄρθιος, περιȣσίαν κεκτημένος πολλήν. Κρατηθεὶς δὲ μετὰ τ῀ σὺν αὐτῷ, καὶ παρας̄αθεὶς τῷ Ἀρχιμάγῳ· καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ, καὶ τῷ Ἄρει. Ἀλλὰ μᾶλλον ἐξυβρίσας εἰς αὐτȣ̀ς, τύπτεται ἰσχυρῶς καὶ δεσμεῖται. Εἶτα ἄγεται Ἰωσὴφ, ἐκ τ῀ αὐτῆς χώρας ὑπάρχων, καὶ αὐτὸς γηραιός. Καὶ ἀντιςὰς τῷ Ἀρχιμάγῳ, τύπτεται, καὶ μαςίζεται, ὡς διακοπῆναι, τὰς σάρκας αὐτȣ͂ μέχρι τ῀ ὀςέων. Καὶ συνδεσμεῖται τῷ ἁγίῳ Ἀκεψιμᾷ. Εἶτα ἄγεται καὶ Ἀειθαλᾶς, καὶ δεσμεῖται τὰς χεῖρας ὑπὸ τὰ γόνατα· καὶ ἐξαρθρȣ͂ται πάσας τὰς τȣ͂ σώματος ἁρμονίας. Μετὰ ταῦτα ὁ μὲν Ἀκεψιμᾶς τυπτόμενος ἐτελειώθη. Ὁ δὲ Ἰωσὴφ κατὰ κεφαλῆς κρεμασθεὶς ἐλιθοβολήθη· ὁ δὲ Ἀειθαλᾶς καὶ αὐτὸς κατὰ κεφαλῆς κρεμασθεὶς, παρέδωκε τὸ πνεῦμα. Τῇ

EODEM MENSE

Die Tertia. 3.

Certamen Sanctorum Martyrum Acepſimæ Epiſcopi, Joſephi Presbyteri, & Aithalæ Diaconi.

ISti quoque Sancti in Perſide martyrium ſubierunt à Sapore tyranno, temporibus Conſtantini magni Romanorum Imperatoris. Erat autem Acepſimas Epiſcopus veneranda canitie, (quippe qui octogeſimum annum ageret) corpore adhuc firmo, proceroque & recto: ad hæc opibus affluens. Comprehenſus autem cum ſociis, ſiſtitur Magorum principi: cùmque adduci non poſſet, ut Soli, & Marti ſacrificaret, quin potius illos contumeliis afficeret, graviſſimè cæſus in vincula rapitur. Poſtea adductus Joſeph, qui ex eadem regione erat, & ipſe ſenex, quod Archimago contradixiſſet, fuſtibus uſque adeo percutitur, ut conciſis fœde carnibus oſſa nudarentur: deinde in carcerem truditur unà cum Sancto Acepſima. Poſt hos & Aithalas producitur, revinctiſque ad genua manibus, ita membra ſingula luxantur, ut tota corporis compages diſſolveretur. Tandem Acepſimas inter flagra expiravit: Joſeph inverſo capite ſuſpenſus lapidibus obrutus eſt: Aithalas verò & ipſe capite inverſo ſuſpenſus, ſpiritum tradidit.

SS. Acepſimas Epiſc. Joſeph Presb. & Aithalas Diac. [illegible]



Eodem die

Commemoratio Sancti Patris noſtri Joannicii Thaumaturgi.

S. Joannicius Thaumaturgus.

MAgnus Pater noſter Joannicius ex Bithyniæ regione fuit temporibus Conſtantini Caballini Imperatoris. Cùm autem in ea, quæ Excubitorum dicitur, militia ſtipendia faciens, & in omnibus aliis bellis fortiter ſe geſſiſſet, Bulgarorumque gentem conciſiſſet, videns aliquando in quodam prælio magnam commilitonum ſuorum multitudinem trucidatam, tantum animo dolorem concepit, ut ſtatim abdicata militia, Olympum montem conſcendens, ſolitariam vitam amplexus fuerit. Sed cognitus forte à commilitone quodam, in Lyciæ montem conceſſit: ubi cùm multa miracula edidiſſet, divina revelatione admonitus, in Eriſtæ monaſterium ſe ſe recepit, & monachus factus eſt. Tum è monte in monrem recedens, ubique prodigia patrabat, & dæmones fugabat. Sed & prophetiæ donum accepit, & Imperatorum, Patriarcharumque ſucceſſiones prædixit. Tertio demùm poſt die, quàm Sanctus Methodius Patriarcha, uri prænunciaverat, ordinatus eſt, in Domino obdormivit.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ Θαυματούργου.

Ὁ Μέγας πατὴρ ἡμῶν Ἰωαννίκιος ὑπῆρχεν ἐκ τῆς χώρας Βιθυνίας ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου. Διὰ δὲ τὴν ἀνδρίαν αὐτοῦ, ἐστρατεύθη εἰς τὴν τῶν Ἐσκουβίτων στρατείαν. Καὶ ἠνδραγάθει ἐν πᾶσι πολέμοις, κατακόπτων τὸ τῶν Βουλγάρων ἔθνος. Ἐν μιᾷ δὲ πολέμου γενομένου, ἰδὼν πολλοὺς τῶν συστρατιωτῶν σφαγέντας, καὶ λυπηθεὶς, κατέλιπε τὴν στρατείαν. Καὶ κατέλαβε τὸ τοῦ Ὀλύμπου ὄρος, καὶ ἡσύχαζεν. Εἶτα γνωρισθεὶς παρὰ συστρατιώτου τινὸς φυγὼν ἀπῆλθεν ἐν τῷ τῆς Λυκίας ὄρει· ἐν ᾧ πολλὰ θαύματα ποιήσας, δι' ἀποκαλύψεως ἦλθεν εἰς τὴν μονὴν Ἐριστῆς· καὶ γίνεται μοναχός· καὶ ἀπὸ ὄρους εἰς ὄρος μεταβαίνων, ἐθαυματούργει· καὶ δαίμονας ἐφυγάδευεν, ἐδέξατο δὲ καὶ προορατικὰ χαρίσματα. Καὶ βασιλέων μὲν ἀλλαγὰς προεῖπε, καὶ Πατριαρχῶν. Ἐξ οὗ καὶ μετὰ τὸ γενέσθαι τὸν ἅγιον Μεθόδιον Πατριάρχην, περὶ οὗ προεφήτευσε, μετὰ τρίτην ἡμέραν ἐκοιμήθη.



159

ΜΗΝΙ Τῼ͂ ΑΥ̓Τῼ͂

Δʹ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Πορφυρίου.

Πορφύριος ὁ Μάρτυς ὑπῆρχεν ἐπὶ βασιλείας Αὐρηλιανοῦ ἐκ τῆς πόλεως Ἐφέσου· εἷς ὢν τῆς θυμέλης, καὶ ἐν τῇ ὀρχηστικῇ εὐδοκιμῶν. Τούτου τοῖς παιγνίοις τερφθεὶς ὁ τῆς Καισαρέων Κόμης Ἀλέξανδρος, προσελάβετο αὐτὸν, καὶ ἤγαγεν εἰς Καισάρειαν. Ἑορτῆς δὲ τοῖς δαίμοσι τελουμένης, καὶ τῶν παιγνίων γινομένων, διεπαίζοντο καὶ οἱ τῶν Χριστιανῶν τύποι. Καὶ προσήχθη Πορφύριος, παρὰ τοῦ δῆθεν εἰς τύπον Ἐπισκόπου σχηματισθέντος βαπτισθῆναι· ἐνεχθέντος οὖν ὕδατος, γυμνωθεὶς εἰσῆλθεν ἐν αὐτῷ· τοῦ ψευδοεπισκόπου, ὡς οἱ Χριστιανοὶ, λέγοντος, εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος· βαπτίζεται Πορφύριος. Καὶ τούτου γενομένου, ἦλθον οἱ Ἄγγελοι καὶ ἐνέδυσαν στολὴν λευκὴν τὸν Πορφύριον, μετὰ λαμπάδων ψάλλοντες· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, ἀλληλούϊα. Ἰδόντες οὖν τὸ θαῦμα, πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον. Ὁ δὲ Κόμης αἰσχυνθεὶς, ὑπεχώρησε. Καὶ τῇ ἐπαύριον ἀγαγὼν αὐτὸν, καὶ ὡς γόητα διαβαλὼν, ἀπεκεφάλισεν.

Τῇ

EODEM MENSE

Die Quarta. 4.

Certamen Sancti Martyris Porphyrii.

Porphyrius Martyr, Aureliano Imperatore, fuit ex urbe Epheſo, egregius ſcenicorum ludorum actor, cujus ludicra arte delectatus Alexander Cæſareenſium Comes, ſecum Cæſaream illum adduxit. Agebatur forte feſtus dæmonum dies ſumma ludorum celebritate, in quibus & Chriſtianorum ritus per jocum repræſentabantur. Productus igitur Porphyrius, ut ab eo, qui ſcilicet Epiſcopi perſonam induerat, baptizaretur, allata aqua, nudus illam ingreditur. Falſo interim Epiſcopo, Chriſtianorum ritu, dicente: In nomine Patris, & Filii, & Spiritus ſancti, baptizatur Porphyrius. Quo facto adfuere Angeli, qui induto ſtola alba Porphyrio, cum facibus pſallebant, dicentes: Quicumque in Chriſto baptizati eſtis, Chriſtum induiſtis, Alleluja. Eo miraculo commoti plurimi, in Dominum credidere. Comes verò rubore ſuffuſus diſceſſit: & ſequenti die Porphyrium prætexto magicæ artis crimine decollari juſſit. S. Porphyrius M.

Eo-



Eodem die

Commemoratio Sanctorum Apoſtolorum de numero Septuaginta, Patrobæ, Hermæ, Lini, Gaji, & Philologi.


SS. Patrobas, Hermas, Linus, Gajus, & Philologus, è LXX.

HI omnes fuere Apoſtoli ex numero Septuaginta Diſcipulorum. Et Patrobas quidem, cujus mentionem in ſuis epiſtolis Paulus magnus facit, Epiſcopus Puteolorum factus, multos ad Chriſti fidem traductos baptizavit. Hermas autem, de quo etiam Paulus Apoſtolus in epiſtola ad Romanos meminit, Philippopoleos Epiſcopus fuit. Porrò Linus poſt ſanctiſſimum Apoſtolum Petrum magnæ Romæ Epiſcopus eſt nuncupatus. Gajus verò, cujus idem Apoſtolus mentionem injecit, poſt Sanctum Timotheum Epiſcopus Epheſiorum renunciatur. Denique Philologus, de quo idem Apoſtolus meminit, Sinopis Epiſcopus creatus fuit ab Andrea primùm omnium Apoſtolorum vocato. Epiſcopatum itaque in memoratis civitatibus gerentes, cùm multas moleſtias atque vexationes pro verbo pietatis tuliſſent, multoſque populos docendo ad Chriſtum pertraxiſſent, deceſſerunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τῶν ἁγίων Ἀποστόλων ἐκ τῶν Ο'. Πατροβᾶ, Ἑρμᾶ, Λίνου, Γαΐου, καὶ Φιλολόγου.

ΟΥτοι πάντες ὑπῆρχον ἐκ τῶν ἑβδομήκοντα Μαθητῶν, καὶ Ἀποστόλων. Καὶ ὁ μὲν Πατροβᾶς, οὗ καὶ ὁ μέγας Παῦλος ἐν ταῖς ἑαυτοῦ ἐπιστολαῖς μέμνηται, Ἐπίσκοπος Ποτιόλων ἐγένετο, πολλοὺς βαπτίσας, καὶ προσαγαγὼν τῷ Χριστῷ. Ὁ δὲ Ἑρμᾶς, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς μέγας Ἀπόστολος μέμνηται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, Ἐπίσκοπος Φιλιππουπόλεως ἐγένετο. Ὁ δὲ Λῖνος μετὰ Πέτρον τὸν ἁγιώτατον Ἀπόστολον, τῆς μεγάλης Ῥώμης Ἐπίσκοπος ἐχρημάτισεν. Ὁ δὲ Γάϊος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς Ἀπόστολος μέμνηται, μετὰ τὸν ἅγιον Τιμόθεον, Ἐπίσκοπος Ἐφέσου ἐγένετο. Ὁ δὲ Φιλόλογος, οὗ καὶ αὐτοῦ ὁ αὐτὸς Ἀπόστολος μέμνηται, Ἐπίσκοπος Σινώπης ἐγένετο ὑπὸ Ἀνδρέου τοῦ πρωτοκλήτου τῶν Ἀποστόλων. Καὶ ἐπισκοπήσαντες ἐν ταῖς δηλωθείσαις πόλεσι, καὶ πλείστους πειρασμοὺς, καὶ θλίψεις διὰ τὸν τῆς εὐσεβείας λόγον ὑπομείναντες, καὶ πολλοὺς διδάξαντες, καὶ τῷ Χριστῷ προσαγαγόντες λαοὺς, ἐτελειώθησαν.



ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

Ε΄.

Ἄθλησις τῶν ἁγίων Γαλακτίωνος, καὶ Ἐπιστήμης.

Ὁ Ἅγιος Γαλακτίων ὑπῆρχεν ἐκ τῆς πόλεως Ἐμέσης· γεννηθεὶς ἐκ προῤῥήσεως μοναχοῦ τινὸς Ὀνουφρίου, τοῦ καὶ τοὺς γονεῖς αὐτοῦ βαπτίσαντος. Τελευτησάσης δὲ τῆς μητέρος, ὁ πατὴρ ἐμνηστεύσατο αὐτῷ γυναῖκα πάνυ ὡραίαν, ὀνόματι Ἐπιστήμην, ἔτι ἄπιστον οὖσαν. Καὶ μετὰ τὸν γάμον ἀπερχόμενος ὁ Γαλακτίων πρὸς αὐτὴν, οὐκ ἠσπάζετο αὐτήν. Ἐρωτησάσης δὲ ἐκείνης, διὰ τί οὕτω ποιεῖς, εἶπεν· διότι οὐχ ὑπάρχεις χριστιανή. Ἡ δὲ ἀκούσασα, εὐθέως συνέθετο γενέσθαι Χριστιανή. Πρεσβυτέρου δὲ μὴ ὄντος διὰ τὸν διωγμὸν, ἐβαπτίσθη παρὰ τοῦ Γαλακτίωνος. Εἶτα συνέθεντο ἀλλήλοις, καὶ διένειμαν τὸν πλοῦτον αὐτῶν τοῖς πένησι. Καὶ ἀπῆλθον εἰς ὄρος, καὶ ἐμόνασαν ἰδίως εἰς μοναστήρια. Ἐγένετο δὲ διωγμὸς τότε κατὰ τῶν Χριστιανῶν· καὶ μαθὼν ὁ τῆς χώρας Ἄρχων περὶ αὐτῶν, ἀπέστειλε καὶ ἐκράτησε τὸν Γαλακτίωνα. Καὶ τούτου συρομένου, ἔφθασεν αὐτὸν ἡ Ἐπιστήμη, καὶ συνεκρατήθη· καὶ παρὰ τοῦ Ἄρχοντος κοπέντες χεῖρας καὶ πόδας, ἀπεκεφαλίσθησαν.

Τῇ

EODEM MENSE.

Die Quinta. 5.

Certamen Sanctorum Galactionis, & Epiſtemes.

SS. Galaction, & Epiſteme MM.

SAnctus Galaction ex urbe Emeſa fuit, Onuphrii monachi prædictione natus, à quo & parentes ejus baptizati fuerant. Cùm autem poſt matris obitum deſpondiſſet illi pater uxorem, nomine Epiſtemen, formoſiſſimam, ſed adhuc infidelem; nuptiis celebratis, adiit quidem Galaction uxorem; ſed nulla ratione adduci potuit, ut ad oſculum eam admitteret; cujus rei cauſam ab ea rogatus. Quia, inquit, Chriſtiana non es. Quare ſtatim Chriſtianam ſe futuram pollicetur. Sed cùm nulla Presbyteri facultas propter perſecutionem daretur, ab ipſo Galactione baptizata eſt. Deinde ex compoſito diſtributis in pauperes facultatibus, uterque in montem ſeceſſit, atque in monaſterium ſeparatim ſe recepit. Commota autem in Chriſtianos perſecutione, ad regionis Præfectum delati ſunt. Dum igitur Galaction comprehenſus ad Præfectum trahitur, Epiſteme aſſecuta eum eſt, & ſimul cum illo retenta. Deinde ambo præciſis manibus ac pedibus, decollati fuere.

Eo-



Eodem die

Certamen Sancti Domnini, & ſociorum Theotimi, Timothei, Philothei, Dorothei, Carterii, & Silvani.

SS. Domninus, & ſocii MM.

ISti Maximino Imperatore claruere. Cùm autem verbum Dei docerent, multoſque infidelium ad Dominum converterent, delati ad Maximinum, & comprehenſi, graviſſimiſque tormentis excruciati, damnantur ad metalla. Poſt multum verò tempus ergaſtulo educti, ſiſtuntur iniquo tribunali: cùmque induci nequirent, ut idolis immolarent, in equuleum acti, crudeliſſimè excarnificantur: quorum conſtantiam Pamphilus quidam conſpicatus, ſecumque reputans, niſi firma maximarum rerum ſpe nixos, non poſſe illos tantis ſuppliciis pares eſſe, in Chriſtum credidit unà cum tribus Virginibus. Quare pudore ſuffuſus Maximinus, pronunciavit, ut omnes capite plecterentur: qui decollati, ſanctas ac beatas animas ſuas Domino tradiderunt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Δομνίνου, καὶ τῶν σὺν αὐτῷ Θεοτίμου, Τιμοθέου, Φιλοθέου, Δωροθέου, Καρτερίου, καὶ Σιλβανοῦ.

ΟὟτοι ὑπῆρχον ἐπὶ Μαξιμίνου τοῦ βασιλέως, διδάσκοντες τὸν λόγον τοῦ Θεοῦ· καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέφοντες ἐπὶ τὸν Κύριον, διεβλήθησαν τῷ Μαξιμίνῳ· καὶ κρατηθέντες, ἐτιμωρήθησαν ἰσχυρῶς. Εἶτα κατεδικάσθησαν ταλαιπωρεῖσθαι ἐν τοῖς τοῦ χαλκοῦ μετάλλοις. Καὶ μετὰ χρόνον πολὺν ἐκβληθέντες τοῦ χαλκείου, καὶ παραστάντες τῷ παρανόμῳ βήματι. Καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, ἐκρεμάσθησαν, καὶ ἐξέσθησαν ἀνηλεῶς. Ὁρῶν δὲ τὴν καρτερίαν αὐτῶν Πάμφιλός τις ἀνὴρ καὶ λογισάμενος, ὅτι εἰ μὴ εἶχον οὗτοι μεγάλας καὶ βεβαίας τὰς ἐλπίδας, οὐκ ἂν τοιαύτας τιμωρίας ὑπέμενον, ἐπίστευσε τῷ Χριστῷ· καὶ σὺν αὐτῷ γυναῖκες παρθένοι τρεῖς. Καὶ τούτου γενομένου, αἰσχυνθεὶς ὁ Μαξιμῖνος, ἔδωκεν ἀπόφασιν κατ' αὐτῶν. Καὶ πάντες ἀποκεφαλισθέντες, παρέδωκαν τῷ Κυρίῳ τὰς ἁγίας καὶ μακαρίας αὐτῶν ψυχάς.

Google



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ϛʹ.

Ἄθλησις τοῦ ἁγίου Παύλου τοῦ ὁμολογητοῦ Πατριάρχου Κωνσταντινουπόλεως.

Οὗτος ὑπῆρχεν ἐκ τῆς Θεσσαλονίκης, νοτάριος Ἀλεξάνδρου τοῦ ἁγιωτάτου Πατριάρχου, καὶ Διάκονος τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας· ὃν οἱ Ὀρθόδοξοι μετὰ τελευτὴν Ἀλεξάνδρου προχειρίζονται Πατριάρχην. Κωνστάντιος δὲ ὁ βασιλεὺς, Ἀρειανὸς ὤν, ὑποστρέψας ἀπὸ Ἀντιοχείας, ἐκβάλλει τοῦ θρόνου· καὶ ἀντ' ἐκείνου προεχειρίσατο Εὐσέβιον τὸν Νικομηδείας. Ὁ δὲ καταλαμβάνει τὴν Ῥώμην, εὑρὼν καὶ τὸν μέγαν Ἀθανάσιον ἐκβεβλημένον τοῦ οἰκείου θρόνου· καὶ διὰ γραμμάτων τοῦ βασιλέως Κώνσταντος ἀπολαμβάνουσι τοὺς οἰκείους θρόνους. Καὶ πάλιν ἐκβάλλονται παρὰ Κωνσταντίου συμβουλῇ τῶν Ἀρειανῶν. Τότε γράφει Κώνστας πρὸς τὸν ἀδελφὸν Κωνστάντιον· ὅτι, εἰ μὴ ἀπολάβωσιν τοὺς θρόνους ἑαυτῶν, ἐλεύσομαι μετὰ ὅπλων κατὰ σοῦ. Ἀπέλαβεν οὖν τὸν θρόνον ὁ Παῦλος τὸ τρίτον. Καὶ μετὰ θάνατον Κώνσταντος, ἐξορίζεται εἰς Κούκουσον τῆς Ἀρμενίας. Καὶ ἀποκλεισθεὶς ἐν οἰκήματι, λειτουργῶν ἀπεπνίγη παρὰ τῶν Ἀρειανῶν, μετὰ τοῦ ἰδίου ὠμοφορίου.

Τῇ

EODEM MENSE


Die Sexta. 6.

Certamen Sancti Pauli Confeſſoris Patriarchæ Conſtantinopolitani.

HIC ex urbe Theſſalonica fuit, ſanctiſſimi Patriarchæ Alexandri notarius, & Conſtantinopolitanæ Eccleſiæ Diaconus: qui Alexandro vita functo ab orthodoxis Patriarcha renunciatus, à Conſtantio Ariano Imperatore, ab Antiochia reverſo, è throno dejicitur, in ejus locum ſuffecto Euſebio Nicomedienſi. Paulus autem Romam profectus, reperit ibi Athanaſium è propria ſede exturbatum. Sed per literas Conſtantis Imperatoris in ſuum uterque thronum reſtituitur. Iis verò rurſus Arianorum opera à Conſtantio ejectis, Conſtans ad Conſtantium fratrem ſcripſit, niſi ambo in priſtinum dignitatis gradum reſtituerentur, ſe bellum ei indicturum. Tertio igitur Paulus thronum ſuum recepit. Verùm poſt Conſtantis mortem in Cucuſum Armeniæ urbem relegatus, dum in ædicula incluſus Liturgiam celebraret, ſuo Homophorio ab Arianis ſuffocatus eſt.

S. Paulus Patriarcha CP.

Y Eo-



Eodem die

Commemoratio pulveris, ſive cineris, aut ſtactes de cœlo lapſæ.

Commemoratio cineris de cœlo lapſi.

EXtremis Leonis magni Imperatoris, cognomento Beſſi, temporibus, hora diei ſexta, obductum atris nubibus cœlum, quale ſolet eſſe imminentibus maximis imbribus, ardentem quaque verſus faciem præferens, igni omnia correpturum eſſe videbatur, ut etiamſi ex hujuſmodi nubibus pluvia deferretur, igni tamen ac flamma, non ſecus ac olim Sodoma, omnia eſſet incenſura. Sed cùm ſacerdotes omnes, ac pii homines cum lacrymis ad templa confugerent, Deumque & immaculatam Deiparam ſupplices deprecarentur; qui non vult mortem peccatorum clementiſſimus Dominus, pœnam clementia temperans, imperavit nubibus, ut admirabilem pluviam emitterent. A veſpere igitur ad mediam noctem pluit. Quæ autem defluebat, ſtacte erat fervens inſtar carbonum, quæ plantas omnes aduſſit: quæ verò in tegulas decidit, ad hominis ſpeciem excrevit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἡ ἀνάμνησις τῆς πεσούσης ἐξ οὐρανοῦ κόνεως, ἤτοι τέφρας, ἢ στακτῆς.

ΕΠΙ' Λέοντος τοῦ μεγάλου βασιλέως, τοῦ ἐπιλεγομένου Βέσσου, περὶ τὰ τελευταῖα τῆς αὐτοῦ βασιλείας, ὥρᾳ ἕκτῃ τῆς ἡμέρας, γέγονε συννεφὴς ὁ οὐρανὸς, καὶ τὴν συνήθη τῶν ὀμβροφόρων νεφῶν, μελανίαν εἰς πυρώδη θέαν μεταβαλὼν, ἐδόκει τὰ πάντα καταφλέγειν· ὡς νομίζειν ἅπαντας, ὡς εἰ καὶ βροχὴ κατενεχθείη ἐκ τοιούτων νεφῶν, πάντως πῦρ ἔσται, καὶ φλὸξ, κατακαίουσα ὡς πάλαι τὰ Σόδομα. Πάντων δὲ τῶν ἱερέων καὶ τῶν εὐλαβῶν μετὰ δακρύων προσφυγόντων ταῖς ἐκκλησίαις, καὶ τὸν Θεὸν, καὶ τὴν πανάχραντον Θεοτόκον δυσωπούντων, ὁ μὴ θέλων τὸν θάνατον τῶν ἁμαρτωλῶν φιλάνθρωπος Κύριος, κεράσας τῇ τιμωρίᾳ τὴν ἀγαθότητα, ἐκέλευσε ταῖς νεφέλαις βρέχειν ὑετὸν παράδοξον. Ἀπὸ γὰρ τῆς ἑσπέρας ἤρξατο, καὶ μέχρι μέσου νυκτίου ἔβρεχε. Τὸ δὲ κατερχόμενον ἦν στακτὴ ζέουσα ὡς ἀνθρακία· ἥτις καὶ κατέκαυσε πάντα τὰ φυτὰ, ἐπὶ τῶν κεράμων τεθεῖσα ὡς ἀνδρὸς σπιθαμή.

EO- MHNI'



ΜΗΝΙ ΤΩ͂ ΑΥ̓ΤΩ͂

Ζ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἀντωνίου, καὶ τῶν γονέων αὐτοῦ, Μελασίππου, καὶ Κασίνης.

Οὗτοι ὑπῆρχον ἐπὶ τῆς τυραννίδος Ἰουλιανοῦ τοῦ παραβάτου, ἐν Ἀγκύρᾳ τῇ πόλει· ἐκρατήθησαν δὲ παρ' αὐτοῦ. Καὶ ὁ μὲν Ἀντώνιος εἰς φυλακὴν ἐμβάλλεται. Οἱ δὲ γονεῖς αὐτοῦ κρεμασθέντες ἐξέοντο, καὶ πυρὶ κατεκαίοντο. Εἶτα ἡ μὲν Κασίνη τέμνεται τοὺς μαστούς. Ὁ δὲ Μελάσιππος τοὺς πόδας ἀπὸ τῶν γονάτων. Ἀχθεὶς δὲ καὶ ὁ Ἀντώνιος, καὶ ἰδὼν τοὺς γονεῖς αὐτοῦ κρεμαμένους, καὶ τὰ ἐκκοπέντα μέλη αὐτῶν ἐπὶ γῆς κείμενα, κατεφίλησεν αὐτά. Καὶ λαβὼν ἀπὸ τοῦ ἀποστάζοντος αἵματος, ἤλειψεν ἑαυτόν. Κρεμάμενοι δὲ οἱ γονεῖς αὐτοῦ πρὸς Κύριον ἐξεδήμησαν. Ὁ δὲ Ἀντώνιος χρόνων δεκατριῶν ὑπάρχων, ἐμπτύσας εἰς τὸ πρόσωπον τοῦ παραβάτου, κρεμασθεὶς ξέεται, καὶ τρυπᾶται τοὺς ἀστραγάλους, καὶ ξυρᾶται τὴν κεφαλήν. Εἶτα πέμπεται Ἀγριππίνῳ τῷ δουκί. Καὶ εἰς φοῦρνον βληθεὶς, ἐξῆλθεν ὑγιής. Ἰδόντα δὲ αὐτὸν παιδία τεσσαράκοντα ἐπίστευσαν. καὶ σὺν αὐτῷ προθύμως τὸ διὰ τοῦ ξίφους τέλος ἐδέξαντο.

Τῇ

EODEM MENSE


Die Septima. 7.

Certamen Sanctorum Martyrum Antonii, & parentum ejus Melaſippi, & Caſinæ.

HI, Juliano apoſtata tyrannidem exercente, in urbe Ancyra erant. Comprehenſi autem ab ipſo ſunt. Et Antonio quidem in carcerem conjecto parentes ejus in equuleum ſuſpenſi, dilaniantur, atque igni aduruntur: & Caſinæ mamillæ, Melaſippo autem crura abſcinduntur. Productus verò Antonius, cùm vidiſſet parentes ſuſpenſos, eorum membra humi jacentia exoſculatus, ſeipſum ſanguine de illis diſtillante unxit. Illi verò ita ſuſpenſi, ad Dominum migrarunt. Tùm Antonius, qui annum decimum tertium agebat, in faciem apoſtatæ exſpuens, ſuſpenditur & ipſe, ac diſcerpitur, ejuſque tali terebrantur, & caput raditur. Deinde ad Agrippinum ducem miſſus, atque ab eo in furnum injectus, cùm illæſus prodiiſſet, quadraginta pueros rei magnitudine commotos ad Chriſti fidem pertraxit: qui omnes unà cum eodem exoptatum finem, gladio cæſi, acceperunt.

SS. Antonius, Melaſippus & Caſina MM.

Y 2 Eo-



Eodem die

Certamen Sancti Hieronis, ſociorumque duorum ac triginta, qui in urbe Melitina martyrium ſubierunt.

S. Hieron, & ſocii 32. Martyres.

SAncti martyres Hieron, Nicander, Heſychius, & alii triginta ſocii, Maximiano & Diocletiano impiis Imperatoribus, in urbe Armeniæ Melitina claruerunt. Cùm autem in omnes Chriſtianos univerſim per cædes ſæviretur, detenti & ipſi à Melitinæ præfecto, multis ſuppliciis tentati ſunt, num à Chriſti cultu ad idolorum ſuperſtitionem traduci poſſent. Sed cùm non ſolum id facere recuſarent, ſed magna etiam voce Chriſtum verum Deum, & cœli terræque, ac omnium quæ in eis ſunt, opificem eſſe confiterentur, primum quidem nudati tandiu cæduntur, dum omnia eorum viſcera paterent: mox in carcerem conjecti, omnique prorſus cura deſtituti, tandem poſt longos cruciatus è cuſtodia educti, cùm rurſus impellerentur idolis ſacrificare, nec ad id flecti poſſent, gladio cæſi ſunt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Ἱέρωνος, καὶ τῶν σὺν αὐτῷ τριακονταδύο Μαρτύρων, τῶν ἐν Μελιτινῇ μαρτυρησάντων.

ΟἹ ἅγιοι Μάρτυρες, Ἱέρων, Νίκανδρος, Ἡσύχιος, καὶ οἱ σὺν αὐτοῖς ἕτεροι τριάκοντα, ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ, καὶ Διοκλητιανοῦ τῶν παρανόμων βασιλέων, ἐν Μελιτινῇ πόλει τῆς Ἀρμενίας. Διωγμοῦ δὲ καθολικοῦ γενομένου κατὰ τῶν Χριστιανῶν, καὶ πανταχοῦ ἀναιρουμένων, ἐκρατήθησαν καὶ αὐτοὶ παρὰ τοῦ τῆς Μελιτινῆς ἡγεμόνος. Καὶ πολλὰ τιμωρηθέντες ἀρνήσασθαι τὸν Χριστὸν, καὶ θῦσαι τοῖς ἀκαθάρτοις εἰδώλοις· καὶ μὴ πεισθέντες τοῦτο ποιῆσαι, ἀλλὰ μᾶλλον μεγάλῃ τῇ φωνῇ τὸν Χριστὸν ὁμολογήσαντες, Θεὸν εἶναι ἀληθινὸν, καὶ δημιουργὸν οὐρανοῦ καὶ γῆς, καὶ πάντων τῶν ἐν αὐτοῖς· πρῶτον μὲν γυμνωθέντες ἐτύφθησαν, ἕως ἐφάνη πάντα τὰ σπλάγχνα αὐτῶν. Ἔπειτα ἀπεκλείσθησαν ἐν τῇ φυλακῇ πάσης ἐπιμελείας ἐστερημένοι. Καὶ μετὰ τὸ ταλαιπωρηθῆναι ἱκανῶς, ἐκβληθέντες τῆς φυλακῆς, καὶ πάλιν ἀναγκασθέντες θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, ξίφει τὰς κεφαλὰς ἀπετμήθησαν.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Αὔκτου, Ταυρίωνος, καὶ Θεσσαλονίκης.

Ἡ Μάρτυς Θεσσαλονίκη ὑπῆρχε θυγάτηρ Κλέωνος τινὸς ἱερέως τῶν εἰδώλων. Χριστιανὴ δὲ γενομένη, ἠναγκάσθη παρὰ τοῦ πατέρος ἀρνήσασθαι τὸν Χριστόν. Μὴ πεισθεῖσα δὲ, γυμνωθεῖσα τύπτεται σφοδρῶς· καὶ ξύλοις τὰς πλευρὰς συντρίβεται. Εἶτα ἐκδιώκεται τῆς πατρικῆς οὐσίας, καὶ μικρὸν κτῆμα λαβοῦσα ἐκ τῆς μητρῴας κληρονομίας, ἐκεῖ κατῴκει· ἰδόντες δὲ τὸ γινόμενον ἄνδρες δύο Χριστιανοὶ εὐλαβεῖς, Αὔκτος, καὶ Ταυρίων καλούμενοι, ἠγανάκτησαν κατὰ τοῦ Κλέωνος. Ὁ δὲ διέβαλεν αὐτοὺς τῷ τῆς χώρας Ἄρχοντι. Καὶ κρατηθέντες τύπτονται. Εἶτα λιθοβολοῦνται, καὶ εἰς πῦρ ἐμβάλλονται. Καὶ ἐξελθόντες κατατοξεύονται. Καὶ αὖθις εἰς λίμνην ῥιπτοῦνται· καὶ ἐξελθόντες ἀποκεφαλίζονται. Ἡ δὲ Θεσσαλονίκη μετὰ ταῦτα τὸν Χριστὸν ὁμολογεῖν μὴ παύσασα, ἐν εἰρήνῃ ἐτελειώθη. Τὸ δὲ τίμιον αὐτῆς λείψανον κατετέθη ἐν Ἀμφιπόλει, μετὰ τῶν λοιπῶν ἁγίων ἐντίμως καὶ μεγαλοπρεπῶς.

Eodem die

Certamen Sanctorum Martyrum Aucti, Taurionis, & Theſſalonicæ.

SS Auctus, Taurion, & Theſſalonica MM.

THeſſalonica martyr Cleonis cujuſdam ſacerdotis idolorum filia, Chriſti fide imbuta, compellebatur à patre abnegare Chriſtum. Quod cùm facere detrectaret, flagris nuda graviſſimè cæditur, ejuſque latera fuſtibus contunduntur. Deinde bonis paternis exhæres facta, in prædiolo, quod ſibi ex materna hæreditate obvenerat, habitabat. Id ubi cognovere Chriſtiani duo, Auctus, & Taurion, graviter Cleoni ſuccenſuere. Quamobrem ab eo ad regionis præfectum delati, & comprehenſi vapulant: tùm lapidibus petiti, in ignem conjiciuntur. Mox in ſtagnum projecti, cùm incolumes etiam evaſiſſent, capite plectuntur. Theſſalonica autem cùm nunquam Chriſtum profiteri poſtea deſtitiſſet, in pace quievit: cujus pretioſæ reliquiæ Amphipoli honorificè ac decentiſſimè cum reliquis ſanctis conditæ fuere.



EODEM MENSE | ΜΗΝΙ΄ ΤΩ͂ Α΄ΥΤΩ͂

8. Die Octava. | Η΄.

Archangelorum Synaxis.

Festum Archangelorum.

CUM mundum hunc optimus ac elementiſſimus Deus condere voluiſſet, primùm omnium cœleſtes virtutes ſanctoſque Angelos cogitavit. Cogitatum in factum prodiit. Eorum Ducum unus, cui tùm quidem Sabaël, at poſt lapſum Diaboli nomen fuit, elatione animi correptus, eùm ſeipſum Deum exiſtimaſſet, è ſua dignitate excidit, & unà cum ordine, cui præerat, de cœlis dejectus eſt. At Michaël Archangelus, qui alium Angelorum ordinem ductabat, ut vidit deſertoris caſum, coactis in unum Angelorum choris, Attendamus, inquit: ſimulque rerum omnium Deum in hanc fere ſententiam laudavit. Attendamus nos, qui è nihilo educti ſumus, & magno atque uni Deo adſtamus, quid paſſi fuerint, qui nobiſcum lux hactenus, nunc autem facti ſunt tenebræ. Hujuſmodi igitur Angelorum conſpiratio appellata eſt Synaxis, hoc eſt, attentio, concordia, & unio.

Σύναξις τῶν Ἀρχαγγέλων.

Βουληθεὶς ὁ πανάγαθος καὶ ὁ φιλάνθρωπος Θεὸς τοῦτον τὸν κόσμον δημιουργῆσαι, πρότερον ἐνενόησε τὰς οὐρανίους δυνάμεις καὶ τοὺς ἁγίους ἀγγέλους· καὶ τὸ ἐννόημα γέγονεν ἔργον. Εἷς δὲ τῶν ταξιαρχῶν, ὁ τότε μὲν Σαβαὴλ καλούμενος, μετὰ δὲ τὴν ἔκπτωσιν ὀνομασθεὶς Διάβολος, ὑπερηφανευσάμενος, καὶ ἑαυτὸν νομίσας Θεὸν, ἐξέπεσε τῆς ἀξίας αὐτοῦ, ῥιφεὶς ἐκ τῶν οὐρανῶν, μετὰ τοῦ ὑπ' αὐτὸν τάγματος· ὑπάρχων δὲ ἑτέρας Ἀγγελικῆς τάξεως Ἀρχιστράτηγος ὁ Ἀρχάγγελος Μιχαὴλ, καὶ ἰδὼν πεσόντα τὸν ἀποστάτην, συνήγαγε τοὺς τῶν Ἀγγέλων χορούς. Καὶ εἰπών· προσέχωμεν· ὕμνησε μετὰ φωνῆς τὸν τῶν ὅλων Θεὸν, ὡσανεὶ λέγων, ὅτι προσέχωμεν ἡμεῖς οἱ κτιστοὶ γεγονότες, καὶ τῷ μεγάλῳ καὶ μόνῳ Θεῷ παριστάμενοι. Τί πεπόνθασιν οἱ μεθ' ἡμῶν μέχρι τοῦ νῦν φῶς ὄντες, καὶ ἄρτι γενόμενοι σκότος. Ἡ τοιαύτη οὖν συγκρότησις ὠνομάσθη σύναξις· τουτέστι προσοχὴ, ὁμόνοια, καὶ ἕνωσις.

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τῆς ὁσίας Ματρώνης.

Αὕτη ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ μεγάλου· ὑπῆρχε δὲ ἐκ Πέργης τῆς Παμφυλίας. Συναφθεῖσα δὲ ἀνδρὶ· καὶ γεννήσασα μίαν θυγατέρα, ἔρχεται ἐν Κωνσταντινουπόλει, μετὰ τοῦ οἰκείου ἀνδρὸς, δεκαπέντε οὖσα ἐτῶν. Καὶ γενομένη συνήθης παρθένῳ τινὶ, ὀνόματι Εὐγενίᾳ, καὶ τὴν αὐτῆς ζηλώσασα πολιτείαν, οὐκ ἀφίστατο τῶν ἐκκλησιῶν τοῦ Θεοῦ. Ἔχουσα δὲ τὸν πρὸς Θεὸν ἔρωτα αὐτῆς θερμότερον, καὶ ἀκούσασα τοῦ θείου Εὐαγγελίου, ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, λέγοντες, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· τὴν μὲν θυγατέρα παρέδωκε γυναικί τινι εὐλαβεῖ παρ᾽ ἐκείνης ἀνατρέφεσθαι· τὸν δὲ ἄνδρα καταλιποῦσα, καὶ στολὴν ἀνδρικὴν ἐνδυσαμένη, ἀπῆλθεν εἰς τὴν μονὴν τοῦ ὁσίου Βασσιανοῦ, καὶ ἐγένετο μοναχή. Εἶτα γνωσθεῖσα γυνὴ εἶναι, πέμπεται εἰς Ἱεροσόλυμα παρὰ τοῦ ὁσίου. Καὶ μετὰ χρόνους, ἐλθοῦσα πάλιν εἰς Κωνσταντινούπολιν, καὶ ἰδίως ἡσυχάσασα, ἐτελειώθη.

Eodem die

Commemoratio Sanctæ Matronæ.

HÆC Leone magno imperante ex Perge Pamphyliæ urbe fuit. Cùm autem ex viro ſuo filiam ſuſcepiſſet, eum eodem Conſtanrinopolim venit, decimum quintum ætatis ſuæ annum agens. Ibi Eugeniæ Virginis conſuetudine fruens, ejus vitæ rationem imitata, numquam ab eccleſiis Dei diſcedebat: imò ardentiore, quàm illa, erga Deum ſtudio incenſa, cùm aliquando vocem illam divini Evangelii audiſſet: Qui vult venire poſt me, abneget ſemetipſum, & tollat crucem ſuam, & ſequatur me: filiam feminæ cuidam piæ educandam tradidit; relictoque viro, & ſumpto virili habitu, ſeſe in ſancti Baſſiani monaſterium recepit, monaſticam vitam amplexa. Verùm ubi cognita eſt, femina eſſe, à ſancto viro Hieroſolyma mittitur: unde poſt aliquot annos Conſtantinopolim reverſa, ſolitariam agens vitam, deceſſit. S. Matrona.



EODEM MENSE

Die Nona.

9.

Certamen Sancti Martyris Alexandri Theſſalonicenſis.

S. Alexander M.

Alexander Martyr, Maximiano Imperatore, comprehenſus, cogebatur idolis ſacra facere: quod facinus execratus, divinoque zelo inflammatus, facto in ſacrificiorum menſam impetu, eam pede pulſans evertit, victimaſque effudit. Quare vehementer commotus Maximianus pronunciavit, ut extremo afficeretur ſupplicio. Cùm igitur diſtricto ſpiculator gladio collum ſancti viri peteret, repentino ſtupore perculſus eſt. Cui Imperator: Quid ſtas, inquit, & quare mandatum non exequeris? Ille verò: Ego viſionem videns, magno ſum perculſus metu. Sed cùm Sanctus ad orandum horam petiiſſet atque impetraſſet, tum demum, poſtquam oravit, à ſpiculatore percuſſus fuit: cujus animam à quatuor Angelis ſublimè ferri conſpicatus Maximianus, permiſit, ut ejus reliquiæ in urbe Theſſalonica ſepulcro inferrentur.

Eo-


ΜΗΝΙ' ΤΩ̃ Α'ΥΤΩ̃

Θ'.

Α'́θλησις τοῦ ἁγίου Μάρτυρος Α'λεξάνδρου τοῦ ἐν Θεσσαλονίκῃ.

Α'Λέξανδρος ὁ Μάρτυς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως· καὶ κρατηθεὶς, ἠναγκάσθη θῦσαι τοῖς εἰδώλοις. Ο' δὲ μὴ πεισθεὶς, ἀλλὰ μᾶλλον θείῳ ζήλῳ κινηθεὶς, καὶ ἰδὼν τὴν τράπεζαν τῶν θυσιῶν ἱσαμένην, ὥρμησε· καὶ τῷ ποδὶ κρούσας, ἀνέτρεψεν αὐτὴν, καὶ τὰς θυσίας ἐξέχεε. Καὶ ὀργισθεὶς ὁ Μαξιμιανὸς, ἔδωκε τὴν κατ' αὐτοῦ ἀπόφασιν τοῦ διὰ ξίφους ἀποθανεῖν. Καὶ λαβὼν αὐτὸν ὁ σπεκουλάτωρ, καὶ ἐκβαλὼν τὸ ξίφος, πρὸς τὸ ἀποκεφαλίσαι, ἵςατο ἐκπεπληγμένος. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς αὐτόν. Τί ἕςηκας, καὶ οὐ πληροῖς τὸ προςαχθέν σοι; ὁ δὲ ἔφη· ὀπτασίαν θεωρῶ, καὶ εἰμὶ ἔντροπος. Αἰτησάμενος δὲ ὁ ἅγιος ὥραν προσευχῆς, καὶ λαβὼν, ηὔξατο· καὶ εὐθέως ἐπλήγη ὑπὸ τοῦ σπεκουλάτορος. Εἶδε δὲ ὁ βασιλεὺς τέσσαρας Α'γγέλους ὀψικεύοντας τὴν ψυχὴν τοῦ ἁγίου. Καὶ διὰ τοῦτο δέδωκε τοῖς αἰτησαμένοις, θάψαι τὸ λείψανον αὐτοῦ ἐν πόλει Θεσσαλονίκης.

Τῆ



Τῇ αὐτῇ ἡμέρᾳ.


Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ἀντωνίνου.

Ἀντωνῖνος ὁ Μάρτυς ὑπῆρχεν ἐκ τῆς τῶν Σύρων χώρας· λιθοτόμος τὴν τέχνην. Ἰδὼν δὲ τοὺς Ἕλληνας ἀπερχομένους εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ θύοντας τοῖς εἰδώλοις, παρῄνεσεν αὐτοῖς ἀποστῆναι αὐτῶν. Ὡς δὲ οὐκ εἰσηκούσθη, λυπηθεὶς ἀνεχώρησεν εἰς ἔρημον τόπον· καὶ εὑρίσκει δοῦλον τοῦ Θεοῦ ἀναχωρητὴν ὀνόματι Θεότιμον, καὶ σὺν αὐτῷ διατρίψας ἔτη δύο. Καὶ λαβὼν τὰς εὐχὰς αὐτοῦ, κατῆλθε πάλιν πρὸς τὸν πεπλανημένον λαὸν τοῦ χωρίου αὐτοῦ. Καὶ εὑρὼν αὐτοὺς ἑορτὴν ἐπιτελοῦντας τοῖς δαίμοσιν, εἰσελθὼν εἰς τὸν ναὸν αὐτῶν, συνέτριψε πάντα τὰ εἴδωλα. Εἶτα κρατηθεὶς, καὶ τυφθεὶς ἰσχυρῶς, ἀπῆλθεν εἰς Ἀπάμειαν τῆς Συρίας. Καὶ δεηθεὶς τοῦ ὁσιωτάτου Ἐπισκόπου λαβεῖν ἐξουσίαν τοῦ κτίσαι ναὸν ἐπ᾽ ὀνόματι τῆς ἁγίας Τριάδος, ἤρξατο κτίζειν. Καὶ τοῦτο μαθόντες οἱ συγχωρῖται αὐτοῦ, νυκτὸς ἐπιτεθέντες, τοῖς ξίφεσι μεληδὸν κατέκοψαν. Καὶ οὕτω τὸ πνεῦμα τῷ Θεῷ παρέθετο.

Eodem die

Certamen Sancti Martyris Antonini.

ANtoninus Martyr ex regione Syrorum fuit, lapicidinam artem exercens. Cùm autem videret Græcos fanum idolorum ingreſſos, idoliſque ſacrificantes, hortabatur eos, ut ab ea ſuperſtitione recederent. Sed cùm nihil dicendo efficeret, id ægrè ferens, eremum petiit; nactuſque Anachoretam quemdam Dei ſervum, Theotimum nomine, biennio apud eum manſit. Eius poſtea acceepta benedictione, in patriam ad populum præſtigiis dæmonum ſeductum reverſus, offendit eos feſtum dæmoniis diem agere: ingreſſuſque fanum, idola omnia comminuit. Quamobrem comprehenſus graviſſimè cæditur. Deinde Apameam Syriæ profectus, cùm à ſanctiſſimo Epiſcopo impetraſſet, ut ſanctæ Trinitati templum conderet, jactaque jam eſſent fundamenta, indigenæ noctu hominem aggreſſi, membratim conciderunt: & hunc in modum ſpiritum Deo reddidit. S. Antoninus M.



Eodem die

Certamen Sancti Martyris Oreſtis.

S. Oreſtes M.

ORestes Martyr Tyanis in Cappadocia natus, conteinpto idolorum cultu Chriſtum liberè prædicabat. Comprehenſus igitur à Maximo, qui reeens à Diocletiano Cappadociæ præfectus fuerat, compulſus idola adorare, cùm recuſaſſet, virgis peſſimè uſque adeo percuſſus eſt, ut viſcera ejus nudarentur. Poſtea in templum idolorum ductus, iterumque ea colere coactus, Chriſti nomine invocato, cùm in idola inſufflaſſet, in tenuiſſimum ea pulverem redegit, Tum verò in carcerem detruditur; atque inde ſeptimo poſt die eductus, ſiſtitur Maximo: à quo rurſus ad ſacrificandum ſollicitatus, nec tamen ad id faciendum inductus, trajectis per talos ingentibus clavis, indomito equo catenis alligatus, extra urbem Tyanorum per viginti quatuor millia paſſuum raptatus, ſpiritum tradidit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ὀρέστου.

Ὁ Μάρτυς Ὀρέστης, ὢν ἐκ τῆς πόλεως Τυάνων, χώρας Καππαδοκίας· καταφρονῶν δὲ τῶν εἰδώλων, καὶ τὸν Χριστὸν παῤῥησίᾳ κηρύττων, ἐκρατήθη παρὰ Μαξίμου, ὑπὸ Διοκλητιανοῦ νεωστὶ προχειρισθέντος ἡγεμόνος τῆς χώρας. Καὶ καταναγκασθεὶς προσκυνῆσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθεὶς, τύπτεται μετὰ ῥαβδίων ἰσχυρῶς, ἕως ἐφάνη τὰ ἔσωθεν τῶν σπλάγχνων αὐτοῦ. Μετὰ δὲ τὸ ξυφλιῶσαι, ἀπήχθη εἰς τὸν ναὸν τῶν εἰδώλων, καὶ πάλιν κατηναγκάζετο προσκυνῆσαι αὐτοῖς. Ὁ δὲ τὸν Χριστὸν ἐπικαλεσάμενος, καὶ ἐμφυσήσας εἰς τὰ εἴδωλα, συνέτριψεν αὐτὰ, καὶ ἐλέπτυνεν, ὡσεὶ κονιορτόν. Καὶ τότε παρεδόθη τῇ φυλακῇ. Καὶ μετὰ ἑπτὰ ἡμέρας ἐκβληθεὶς τῆς φυλακῆς, παρέστη τῷ Μαξίμῳ· καὶ πάλιν ἠναγκάζετο θύειν. Καὶ μὴ πεισθεὶς, ἥλοις μακροῖς ἐτρυπήθη τοὺς ἀστραγάλους. Καὶ προσδεθεὶς ἀγρίῳ ἵππῳ μετὰ ἁλύσεων τρέχοντι, συρεὶς μίλια εἰκοσιτέσσαρα ἀπὸ τῆς πόλεως Τυάνων, παρέδωκε τὸ πνεῦμα.



173

ΜΗΝΙ' ΤΩ͂ Α'ΥΤΩ͂

Ι'.

Α'́θλησις τῶν ἁγίων Α'ποςόλων ἐκ τῶν Ο'. Ο'λυμπᾶ, Ρ'ωδίωνος, Σωσιπάτρου, Τερτίου, Ε'ράςου, καὶ Κουάρτου.

ΤΩ͂Ν μὲν ἁγίων τούτων Α'ποςόλων, ὁ μὲν Ο'λυμπᾶς, καὶ ὁ Ρ'ωδίων ἀκολουθοῦντες τῷ ἁγίῳ Α'ποςόλῳ Πέτρῳ, ἀμφότεροι ἐν Ρ'ώμῃ τῇ πόλει ὑπὸ Νέρωνος τὰς κεφαλὰς ἀπετμήθησαν. Ο' δὲ Σωσίπατρος, οὗτινος ἐν τῇ πρὸς Ρ'ωμαίους Ε'πιςολῇ ὁ ἅγιος Α'πόςολος μέμνηται Παῦλος, Ε'πίσκοπος Ι'κονίου γενόμενος, ἐν εἰρήνῃ ἐτελειώθη. Ο' δὲ Τέρτιος, ὁ καὶ τὴν πρὸς Ρ'ωμαίους γράψας ἐπιςολὴν, ὑπὸ τοῦ ἁγίου Παύλου ἐκδοθεῖσαν, μετὰ Σωσίπατρον δεύτερος Ε'πίσκοπος Ι'κονίου γενόμενος, πρὸς Κύριον ἐξεδήμησεν. Ο' δὲ Ε'́ραςος, οὗ καὶ αὐτοῦ ἐν τῇ αὐτῇ ἐπιςολῇ μέμνηται ὁ ἅγιος Παῦλος, οἰκόνομος τῆς ἐν Ι'εροσολύμοις ἐκκλησίας γεγονὼς, καὶ μετὰ ταῦτα Ε'πίσκοπος Πανεάδος, ἐν εἰρήνῃ ἐτελειώθη. Ο' δὲ Κουάρτος Ε'πίσκοπος τῆς πόλεως Βηρυτοῦ γενόμενος, καὶ πολλὰ παθὼν ὑπὲρ τῆς εὐσεβείας, πλείςους τε τῶν ἑλλήνων ἐπιςρέψας ἐπὶ τὸν Κύριον, τέλει βίου ἐχρήσατο.

EODEM MENSE


Die Decima. 10.

Certamen Sanctorum Apoſtolorum ex ſeptuaginta, Olympæ, Rhodionis, Soſipatri, Tertii, Eraſti, & Quarti.

EX his Sanctis Apoſtolis Olympas quidem, & Rhodion Sanctum Apoſtolum Petrum ſecuri, ambo Romæ à Nerone capiris damnati, mortem opperiere. Soſiparer autem, cujus in epiſtola ad Romanos Sanctus Apoſtolus Paulus meminir, Iconii Epiſcopus factus, in pace quievir. Porrò Terrius, cujus opera Sanctus Paulus in ſcribenda ad Romanos epiſtola uſus fuit, ſecundus poſt Soſipatrum renunciatus Iconii Epiſcopus, ad Dominum migravit. Eraſtus verò, cujus in eadem Epiſtola idem Apoſtolus mentionem facit, prunum Hieroſolymiranæ Ecclcſiæ œconomus, deinde Paneadis Epiſcopus creatus, in pace deceſſit. Quarrus denique Beryti urbis Epiſcopus factus, poſtquam multa pro pierate perpeſſus fuiſſet, plurimoſque Græcorum ad Dominum convertiſſet, vita functus eſt.

SS. Olympas, Rhodion, Soſipater, Tertius, Eraſtus & Quartus.

Digitized by Google



EODEM MENSE

11\. Die Undecima.

Certamen Sanctorum Martyrum Menæ, Victoris, Vincentii, & Stephanidis.

55 Menas, Victor, Vincentius, & Stephanis.

SAnctus magnus martyr Menas, Maximiano Imperatore, ex Ægypto fuit. Cùmque in Cotyæo Phrygiæ urbe ſub Numerio mereret, fidei Chriſtianæ cauſa diriſſimè verberatur, & excarnificatur. Deinde igni ambuſtus, ac ſuper acutas teſtulas pertractus, gladio percuſſus occubuit. Sanctus autem Victor Antonino Imperatore ac Sebaſtiano Italiæ Duce claruit. Comprehenſus verò, Chriſtumque ejurare compulſus, cùm nulla ratione ad id induci poſſet, luxatis digitorum articulis, in fornacem projicitur: deinde lethali pharmaco, quod ſibi à mago porrectum fuerat, exhauſto, nulloque prorſus damno affectus, magum ad Chriſtum convertit: erutis demum oculis, capite plectitur. Ea res inſpectantem ſanctam Stephanidem movit, ut ſummam ſancti felicitatem efferret ac prædicaret. Quamobrem comprehenſa, atque ad duas palmas, quæ in unum contortæ fuerant, alligata, præciſis repente vinculis, in duas partes ſcinditur. Eodem die ſanctus Vincentius in urbe Auguſta, quod Chriſtianus eſſet, retentus, ab ejuſdem urbis præfecto capite damnatus, è vita exceſſit.

Eo-

ΜΗΝΙ ΤΩ͂ ΑΥΤΩ͂

ΙΑ'.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Μηνᾶ, Βίκτωρος, Βικεντίου, καὶ Στεφανίδος.

Ὁ Μὲν ἅγιος μεγαλομάρτυς Μηνᾶς ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως, ἐκ τῆς Αἰγυπτίων χώρας· στρατιώτης ὢν τοῦ Νουμερίου, ἐν Κοτυαείῳ πόλει Φρυγίας. Γνωσθεὶς δὲ Χριστιανὸς εἶναι, τύπτεται σφοδρῶς, καὶ ξέεται. Καὶ μετὰ ταῦτα πυρὶ καταφλέγεται· καὶ σύρεται ἐπάνω τριβόλων ὀξέων. Εἶτα τὴν διὰ ξίφους δέχεται τελευτήν. Ὁ δὲ ἅγιος Βίκτωρ ὑπῆρχεν ἐπὶ Ἀντωνίνου βασιλέως, καὶ Σεβαστιανοῦ Δουκὸς ἐν Ἰταλίᾳ. Κρατηθεὶς δὲ καὶ ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστόν· καὶ μὴ πεισθεὶς, ἐξαρθροῦται τοὺς δακτύλους, καὶ βάλλεται εἰς κάμινον. Εἶτα ποτίζεται δηλητήρια φάρμακα παρὰ μάγου· καὶ μηδὲν ἀδικηθεὶς, ποιεῖ τὸν μάγον Χριστιανόν. Ὀρυχθεὶς δὲ τοὺς ὀφθαλμοὺς, τὴν κεφαλὴν ἀποτέμνεται. Ἡ δὲ ἁγία Στεφανὶς ἑωρῶσα ταῦτα, καὶ μακαρίσασα τὸν ἅγιον, ἐκρατήθη. Καὶ δεθεῖσα δύο φοίνιξιν ἐπικλιθεῖσιν ἀλλήλοις, εἶτα ἀπολυθεῖσι διεμερίσθη εἰς δύο. Ὁ δὲ ἅγιος Βικέντιος κατ' αὐτὴν τὴν ἡμέραν κρατηθεὶς, ὡς Χριστιανὸς ἐν Αὐγουστίᾳ τῇ πόλει, παρὰ τοῦ τῆς πόλεως Ἄρχοντος τὴν κεφαλὴν ἀπετμήθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Θεοδώρου ἡγουμένου τῆς εὐαγεστάτης μονῆς τῶν Στουδίτων.


ΕΠΙ' τῆς βασιλείας Κωνσταντίνου τοῦ Καβαλλίνου ἦν οὗτος ἐν Κωνσταντινουπόλει γεννηθείς, πᾶσαν δὲ γνῶσιν τῶν μαθημάτων ἐκμαθών, ἐπὶ τῆς βασιλείας Εἰρήνης, ἀπελθὼν ἐν τῇ Σακκουδίωνος μονῇ, ὑπὸ τοῦ θείου αὐτοῦ Πλάτωνος γέγονε μοναχός. Καὶ παρὰ Ταρασίου Πατριάρχου χειροτονεῖται πρεσβύτερος. Εἶτα τριακονταέτης ὤν, γίνεται καὶ ἡγούμενος τῆς ὑπ' αὐτὴν μονῆς. Ἐξωρίσθη δὲ εἰς Θεσσαλονίκην, διὰ τὸ μὴ συνθέσθαι τῇ μοιχείᾳ τοῦ βασιλέως, ἀλλ' ἀνεκλήθη πάλιν παρὰ τῆς βασιλίσσης Εἰρήνης. Καὶ διὰ τὴν τῶν Σαρακηνῶν ἔφοδον, τὴν βασιλεύουσαν καταλαμβάνει, καὶ τὴν μονὴν τοῦ Στουδίου παραλαμβάνει, καὶ πάλιν ἐξορίζεται παρὰ Νικηφόρου βασιλέως τοῦ σφαγέντος ἐν Βουλγαρίᾳ, ἐπὶ τῇ ὁμοίᾳ ὑποθέσει. Εἶτα ἐξορίζεται διὰ τὰς ἁγίας εἰκόνας ἐπὶ Λέοντος τοῦ Εἰκονομάχου. Καὶ πολλὰ τιμωρηθείς, ὑπὲρ τῆς εὐσεβείας, καὶ ἀγωνισάμενος, καὶ ὕμνους εἰς Θεὸν συγγραψάμενος, ἐν βαθυτάτῳ γήρᾳ πρὸς Κύριον ἐξεδήμησεν.

Eodem die

Commemoratio Sancti Patris noſtri Theodori præfecti celeberrimi monaſterii Studitarum.

ISTE Conſtantino Caballino Imperatore Conſtantinopoli natus, ſcientiis omnibus inſtructus, Irene imperante in Saccudionis monaſterium ſeceſſit, à divino Platone monachus factus, & à Taraſio Patriarcha Presbyter ordinatus. Cùm autem trigeſimum ætatis annum ageret, ejuſdem monaſterii Præfectus creatus eſt. Sed cùm Imperatoris adulterium indignè ferret, Theſſalonicam relegatur: poſtea ab Irene Imperatrice revocatus, ob excurſiones, quas Saraceni faciebant, in regiam urbem migravit, & monaſterium Studii gubernandum ſuſcepit. Verùm à Nicephoro Imperatore, qui in Bulgaria periit, eadem de cauſa rurſus ſolum vertere cogitur. Tandem ob ſacras Imagines à Leone Iconomacho iterùm relegatus; cùm multa fortiter pro pietate ſubiiſſet certamina, hymnoſque in Deum ſcripſiſſet, in extrema ſenectute migravit ad Dominum.

S. Theodorus Studita.



EODEM MENSE

12. Die Duodecima.

Commemoratio Sancti Patris noſtri Martini Franciæ Epiſcopi.

S. Martinus Episc. HIC Juliano Imperatore ex Roma fuit, dux militum primum: deinde conſpecta inſtructa hoſtium multitudine, vehementi metu corripitur. Sed cùm nudum pauperem parte chlamydis, quam geſtabat, texiſſet, eadem nocte Dominus veſte pauperis indutus apparuit ei, dicens: Ne timeas: ſicut enim tu nudum me nequaquam deſpexiſti, ita & ego ero tecum, & victoriam ex tuis hoſtibus reportabis. Cùm itaque viciſſet, atque ab Imperatore benignè acceptus fuiſſet, gratias Deo agens, monachus efficitur. Poſt ſeptem annos cùm omnem ſacræ ſcripturæ ſcientiam aſſidua meditatione conſecutus eſſet, Franciæ Epiſcopus ordinatur. Porrò multa edidit miracula: inter cetera cùm offendiſſet aliquando fœneratorem impedientem quo minus mortuus quidam humaretur, quod eum certam ſibi pecuniæ ſummam debere diceret; contra verò mortui uxor contenderet, omnem illi pecuniam ſoluram eſſe; precibus ad Deum fuſis ſanctus mortuum ad vitam revocavit, & ſycophantam mendacii arguit. Tandem aliis plurimis patratis miraculis, è vita deceſſit.

Eo-

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΙΒ'.

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Μαρτίνου Ἐπισκόπου Φραγγίας.

Οὗτος ἦν ἐπὶ Ἰουλιανοῦ τοῦ βασιλέως ἐκ τῆς Ῥώμης, στρατηλάτης πρότερον ὑπάρχων. Ποτὲ δὲ ἐν πολέμῳ ἰδὼν πλῆθος ἄπειρον, ἐδειλίασε, καὶ θεασάμενος πτωχὸν γυμνὸν, κόψας τὸ ἥμισυ τῆς χλαμύδος αὐτοῦ, δέδωκεν αὐτῷ. Καὶ τῇ αὐτῇ νυκτὶ παρέστη αὐτῷ ὁ Κύριος ἐν εἴδει τοῦ πτωχοῦ λέγων· μὴ ἀθύμει· ὥσπερ σὺ γυμνὸν οὐ παρεῖδές με, οὕτω κἀγὼ ἔσομαι μετὰ σοῦ, καὶ νικήσεις τοὺς ἐχθρούς σου. Νικήσας οὖν, καὶ ἀποδεχθεὶς παρὰ τοῦ βασιλέως, εὐχαριστήσας τῷ Θεῷ, γέγονε μοναχός. Ἕβδομον δὲ διανύσας χρόνον, καὶ πᾶσαν γραφὴν μελετήσας, χειροτονεῖται Ἐπίσκοπος Φραγγίας. Καὶ ἐποίει θαύματα πολλά. Ἐν μιᾷ γὰρ εἶδε δανειστὴν κρατοῦντα νεκρὸν, καὶ μὴ συγχωροῦντα ταφῆναι, ἀλλὰ λέγοντα, ὅτι χρεωστεῖ μοι οὗτος χρυσίον, καὶ τῆς γυναικὸς τοῦ θανόντος λεγούσης, ὅτι ἐπληρώθη· προσευξάμενος ὁ ἅγιος ἀνέστησε τὸν νεκρὸν, καὶ ἔδειξε τὸν συκοφάντην ψευδόμενον. Ποιήσας δὲ καὶ ἕτερα θαύματα πολλὰ, ἐτελειώθη.

Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐλεήμονος Πατριάρχου Ἀλεξανδρείας.

Κύπριος ἦν οὗτος τὸ γένος, υἱὸς Ἐπιφανίου τοῦ τότε τῆς νήσου Ἄρχοντος. Γυναικὶ δὲ προσομιλήσας κατὰ βούλησιν τοῦ πατέρος, καὶ τέκνων πατὴρ γεγονὼς, ἐπεὶ τὸν βίον ἀπέλιπον ἥτε γυνὴ, καὶ τὰ τέκνα αὐτοῦ, πᾶσαν τὴν ἔφεσιν αὐτοῦ πρὸς Θεοῦ ἀρέσκειαν ἔτρεψε, καὶ διὰ λαμπρότητα βίου ὑπὸ Ἡρακλείου τοῦ βασιλέως, αἰτησαμένου τοῦ δήμου τῶν Ἀλεξανδρέων αὐτὸν, Πατριάρχης Ἀλεξανδρείας καθίσταται, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Διαπρέψας δὲ ἐν τῇ ἀρχιερωσύνῃ ἔτη πολλὰ, καὶ μυρία ποιήσας θαύματα, καὶ τοῖς δεομένοις ἀφθόνως χορηγήσας τὰ πρὸς τὴν χρείαν, καὶ διὰ τὴν πολλὴν ἐλεημοσύνην, τὴν τοῦ ἐλεήμονος ἐπίκλησιν λαβὼν, καὶ πᾶσιν αἰδέσιμος καταστὰς, ὡς ἡ περὶ αὐτὸν βίβλος κατὰ πλάτος δηλοῖ, καὶ πολλοὺς τῶν ἀπίστων ἐπιστρέψας ἐπὶ τὸν Κύριον, ἐν γήρᾳ βαθεῖ τὴν γῆν ἀφεὶς, πρὸς οὐρανὸν ἀνέδραμε χαίρων.

Eodem die

Commemoratio Sancti Patris noſtri Joannis Eleemoſynarii, Patriarchæ Alexandriæ.

Hic genere Cyprius erat, Epiphanii tum inſulæ Prætoris filius. Uxore autem, quam de parentum auctoritate duxerat, & filiis, quibus auctus fuerat, defunctis, omnem ſuam curam in id unum contulit, ut Deo placeret. Ob ejus igitur vitæ ſplendorem populus Alexandrinus ab Heraclio Imperatore poſtulavit, ut Alexandriæ Patriarcha per canonicam manuum impoſitionem crearetur. Quo in Pontificatu cùm multos annos egiſſet, & innumera miracula patraſſet, ex eo, quod egentibus quæ neceſſaria erant, copioſè ſuppeditaret, propter multam illius eleemoſynam, Eleemoſynarii cognomen meritò tulit. Tandem venerabilis omnibus factus, quemadmodum ſcriptus de eo liber latè oſtendit, multis infidelium ad Dominum converſis, in profunda ſenectute relictis terris ad cœlum lætus evolavit. S. Joannes Eleemoſynarius, Patriarcha Alexandriæ.



EODEM MENSE

13. Die Decima tertia.

Commemoratio exilii Sancti Patris noſtri Joannis Chryſoſtomi.

S. Joannes Chryſoſtomus.

EXilii Chryſoſtomi commemoratio, non autem dormitionis ejus nunc celebratur, eam ob cauſam, quod hæc in idem tempus inciderit, quo pretioſæ Crucis exaltatio recolitur. Hic igitur Antiochiæ Syriæ natus, ab ineunte ætate plurimum ſtudii ad dicendum adhibuit, & brevi Græcorum Chriſtianorumque eruditionem conſecutus eſt. Quamobrem ſingularem ejus virtutem admiratus Meletius Patriarcha Antiochiæ, illum in Clericorum ordinem legit. Flavianus verò Diaconum, & Presbyterum ordinavit. Cùm verò totam Scripturam ſacram expoſuiſſet, in Nectarii defuncti locum, Epiſcoporum ſuffragio, & Arcadii Imperatoris juſſu, Conſtantinopolitanus Patriarcha electus, Antiochia in regiam urbem tranſmittitur, ibique Pontifex conſtituitur. Sed cùm Eudoxiæ Imperatricis animum à ſe alienaſſet, quod ejus avaritiam objurgaſſet, ab ea in oppidum Armeniæ Cucuſum iniquiſſimè relegatus, ibi deceſſit.

ΜΗΝΙ ΤΩ͂Ι ΑΥΤΩ͂Ι

ΙΓ'.

Ἡ ἀνάμνησις τῆς ἐξορίας τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

ἘΠιτελεῖται ἡ μνήμη αὕτη νῦν ἀντὶ τῆς κοιμήσεως αὐτοῦ, διὰ τὸ ταύτην ἐν τῇ ὑψώσει τοῦ τιμίου συμβαίνειν σταυροῦ. Οὗτος δὲ ὑπῆρχεν ἐκ τῆς πόλεως Ἀντιοχείας τῆς Συρίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Καὶ μετῆλθεν ἐν τάχει πᾶσαν γραφὴν ἑλλήνων τε καὶ Χριστιανῶν. Καὶ δι' ἀρετὴν παρὰ μὲν Μελετίου Πατριάρχου Ἀντιοχείας γίνεται Κληρικός. Παρὰ δὲ Φλαβιανοῦ, Διάκονος καὶ Πρεσβύτερος. Πᾶσαν δὲ τὴν ἁγίαν ἑρμηνεύσας γραφὴν, ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντινουπόλεως Πατριάρχης τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν Ἐπισκόπων, καὶ τῇ τοῦ βασιλέως Ἀρκαδίου προστάξει, ἐκ τῆς Ἀντιοχείας μεταπεμφθεὶς, Ἀρχιερεὺς τῆς βασιλίδος καθίσταται πόλεως. Τὴν πλεονεξίαν δὲ ἐλέγχων, προσέκρουσε τῇ βασιλίδι Εὐδοξίᾳ. Καὶ ὑπ' ἐκείνης ἀδίκως ἐξορισθεὶς ἐν Κουκουσῷ τῆς Ἀρμενίας, ἐκεῖ τελευτᾷ.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Μίλη Ἐπισκόπου, καὶ τῶν μαθητῶν αὐτοῦ, Ἐβόρη, Πάπα, καὶ Σεβόη Διακόνου.

Οὗτοι ὑπῆρχον ἐκ Περσίδος· ὁ δὲ ἅγιος Μίλης στρατηγὸς τὸ πρότερον ἦν· καταλιπὼν δὲ τὸ στρατηγεῖν, καὶ τῷ Θεῷ δουλεύσας, προεχειρίσθη Ἐπίσκοπος ἐν πόλει Περσικῇ, ἔνθα ὁ Προφήτης Δανιὴλ τὰς ὀπτασίας ἐθεάσατο. Διωχθεὶς δὲ ὑπὸ τῶν ἀπίστων ἐκεῖθεν, ἦλθεν εἰς Ἱεροσόλυμα· εἶτα εἰς Ἀλεξάνδρειαν πρὸς τὸν μακάριον Ἀντώνιον. Καὶ αὖθις ὑπέστρεψεν ἐν Περσίδι. Ἔνθα παρὰ Μισθοφάρη τοῦ βασιλίσκου καὶ τοῦ ἀδελφοῦ αὐτοῦ, ξίφει κατὰ καρδίας πληγεὶς, τελειοῦται, διὰ τὸ μὴ θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρί. Ἔτι δὲ ἐμπνέων ἔφη πρὸς τὸν βασιλίσκον, καὶ τὸν ἀδελφὸν αὐτοῦ· ὅτι αὔριον κατὰ τήνδε τὴν ὥραν ὑπ᾽ ἀλλήλων φονευθήσεσθε. Ταῦτα εἰπόντος, ὀργισθέντες ὅτε βασιλίσκος καὶ ὁ ἀδελφὸς αὐτοῦ μετὰ ξύλων τύπτοντες ἀνηλεῶς τοὺς μαθητὰς τοῦ ἁγίου, ἐφόνευσαν. Καὶ οὕτως παρέδωκαν τὰς ψυχὰς αὐτῶν τῷ Κυρίῳ. Κατὰ δὲ τὴν πρόρρησιν τοῦ ἁγίου μανέντες οἱ δύο ἀδελφοὶ κατ᾽ ἀλλήλων, ἀλλήλους ἐφόνευσαν.

Eodem die

Certamen Sanctorum Martyrum Milis Epiſcopi, & diſcipulorum ejus Eboræ, Papæ, & Seboæ Diaconi.

HI ex Perſide fuerunt. Sanctus verò Miles ſtipendia belli merens, poſtea militiæ munere abdicato, cùm ſe totum Dei ſervitio addixiſſet, Epiſcopus in ea Perſidis urbe ordinatur, ubi Daniel Propheta viſiones vidit. Sed inde ab infidelibus ejectus, Hieroſolyma venit: deinde Alexandriam ad beatum Antonium: demum in Perſidem reverſus, à Miſtophato regulo, ejuſque fratre gladio in corde trajicitur, quod ſoli & igni ſacrificare noluiſſet: quibus ille dum adhuc animam ageret, prædixit fore, ut die ſequenti mutuis regulus & frater vulneribus eadem, qua ipſe cæſus fuerat, hora conciderent. Quare vehementius commoti, diſcipulos ejus tandiu fuſtibus contudere, dum animas Domino traderent. Poſtridie autem juxta Sancti prædictionem, fratres in furias acti, mutuis ſe ſe vulnetibus confecere.

S. Miles Epiſcopus, & diſcipuli ejus.

Τῇ

Aa Eo-

Digitized by Google



Eodem die

Certamen Sanctorum Martyrum Antonini, Nicephori, Germani, & ſociorum.

SS. Antoninus, Nicephorus, & Germanus, & ſocii.


ANtoninus Martyr provectus jam ætate; Nicephorus autem, & Germanns adoleſcentes, comprehenſi à regionis Præfecto, cùm idolis ſacrificare nollent, imò Chriſtum confiterentur; in urbe Cæſarea capite plectuntur. Virgo autem quædam, Manetho nomine, Scythopolitana, comprehenſa & ipſa, per totam urbem nuda traducitur: deinde diverſis in locis graviſſimis ſuppliciis excruciata, & ab omnibus Dei beneficio erepta, & incolumis evadens, cùm multa miracula patraſſet, plurimoſque infidelium verbo Dei inſtructos ad Dominum convertiſſet, demum igni damnata, in ardentiſſimam fornacem, orans & gratias agens, ingreditur: ibique per multas horas in oratione perſeverans, ſacrum tandem ſpiritum in manus Dei viventis tradidit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Μαρτύρων, Ἀντωνίνου, Νικηφόρου, Γερμανοῦ, καὶ τῆς συνοδίας αὐτῶν.

ΑΝτωνῖνος ὁ Μάρτυς ὑπῆρχε τὴν ἡλικίαν προβεβηκώς, Ὁ δὲ Νικηφόρος, καὶ ὁ Γερμανὸς νέοι. Κρατηθέντες δὲ ὑπὸ τοῦ τῆς χώρας Ἄρχοντος, καὶ καταναγκασθέντες θῦσαι τοῖς εἰδώλοις, καὶ μὴ πεισθέντες, ἀλλ᾽ ὁμολογοῦντες τὸν Χριστὸν, τὰς κεφαλὰς ἐν Καισαρείᾳ ἀπετμήθησαν. Παρθένος δέ τις, Μανεθὼ λεγομένη, ὑπῆρχεν ἐκ Σκυθοπόλεως. Καὶ κρατηθεῖσα, καὶ ἀνὰ πᾶσαν τὴν πόλιν θριαμβευθεῖσα γυμνὴ, εἶτα τιμωρηθεῖσα ἐν διαφόροις τόποις, πικραῖς βασάνοις· καὶ ἐκ πάντων Θεοῦ χάριτι ῥυσθεῖσα, καὶ ἀβλαβὴς διαμείνασα, μυρία τε θαυματουργήσασα, καὶ πολλοὺς τῶν ἀπίστων κατηχήσασα τὸν λόγον τοῦ Θεοῦ, καὶ ἐπιστρέψασα ἐπὶ τὸν Κύριον, τελευταῖον κατεκρίθη πυρὶ τελειωθῆναι· καὶ τῆς καμίνου ἀναφθείσης, εὐξαμένη, καὶ εὐχαριστήσασα, εἰσῆλθεν ἐν αὐτῇ. Καὶ ἐν τῇ καμίνῳ ἐπὶ πολλαῖς ταῖς ὥραις προσευχομένη, τὸ ἱερὸν αὐτῆς παρέθετο πνεῦμα εἰς χεῖρας Θεοῦ ζῶντος.

Google



ΜΗΝΙ΄ Τῼ͂ ΑΥ΄Τῼ͂

ΙΔ΄.

Ἡ κοίμησις τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ὑπατίου τοῦ θαυματουργοῦ Ἐπισκόπου Γαγγρῶν.

Οὗτος ὑπῆρχεν εἷς ἐκ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ Ἀρείου τοῦ ματαιόφρονος, ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ μεγάλου. Ἐποίησε δὲ θαύματα πολλά, ἐξ ὧν ἓν ὑπάρχει καὶ τοῦτο. Δράκοντος μεγάλου ἐν τῷ ταμείῳ τῶν βασιλικῶν χρημάτων ποθὲν εἰσερπύσαντος, καὶ εἰσελθεῖν μὴ συγχωροῦντος τινί, προσεκλήθη παρὰ τοῦ βασιλέως. Καὶ ποιήσας εὐχήν, ἐθανάτωσεν αὐτόν, προστάξας ἐν τῷ φόρῳ γενέσθαι πυράν, καὶ ἀπὸ τοῦ ταμείου τὸν δράκοντα ἀγαγών, δακόντα τὸ ἄκρον τοῦ ῥαβδίου αὐτοῦ, καὶ ἀκολουθοῦντα, καὶ βαλὼν ἐν αὐτῇ, καὶ κατακαύσας· ὅθεν ἐν τῇ εἰσόδῳ τοῦ ταμείου ὁ βασιλεὺς τὴν εἰκόνα τοῦ ἁγίου ἐζωγράφησεν. Ὑποστρέψαντα δὲ εἰς τὴν οἰκείαν ἐκκλησίαν ἐφόνευσαν οἱ αἱρετικοὶ Νοβατιανοί· γυνὴ γὰρ ῥίψασα λίθον κατὰ κεφαλῆς αὐτοῦ, τῆς ἐνθάδε μὲν ζωῆς ἀπήλλαξε, προεξένησε δὲ αὐτῷ βασιλείαν οὐρανῶν.

EODEM MENSE


Die Decima quarta. 14.

Dormitio Sancti Patris noſtri Hypatii Thaumaturgi Epiſcopi Gangrorum.

S. Hypatius Epiſc. Gangrorum.

Hic unus fuit ex trecentis decem & octo Patribus, qui ad Nicænam Synodum, Conſtantino magno Imperatore, adverſus delirantem Arium convenerunt. Et plura quidem miracula edidit; ſed illud in primis memorabile eſt, quod cùm portentoſæ magnitudinis draco in ærarium imperiale irrepſiſſet, omneſque ab ingreſſu propulſaret, accerſitus ab Imperatore, fuſis precibus, illum interfecit: juſſit enim rogum in foro accendi; & draconem ex ærario eductum, virgæque ſummitati, quam Hypatius tenebat, mordicus inhærentem, atque ſequentem, in ignem injecit. Hinc Imperator in ipſius ærarii aditu imaginem Sancti accuratè depingi mandavit. Hypatius verò ad eccleſiam ſuam reverſus, Novatianorum hæreticorum inſidiis interimitur: nam à muliere quadam ſaxo in ejus caput projecto, hujus vitæ ergaſtulo liberatus, ad cœleſte regnum avolavit.

Digitized by Google



Eodem die

Commemoratio Sancti Apoſtoli Philippi unius ex duodecim Apoſtolis.

S. Philippus Apoſtolus.

PHilippus ex duodecim Apoſtolis unus Bethſaidæ in Galilæa natus, poſt Domini aſcenſionem, multis miraculis editis, Trajano Imperatore, Hierapolim profectus eſt cum ſeptem filiabus ſuis, & Marianna ſorore ſua, atque Bartholomæo Apoſtolo, docens verbum Chriſti, & infideles ab idolorum ſeductione abducens: viperam enim tamquam Deum colebant, è quibus & Nicanora erat Proconſulis uxor. Quare cùm Proconſulis juſſu Bartholomæus, & Philippus excruciati fuiſſent, & ſublimibus è muro pedibus penderent, orante Philippo, repentino terræ hiatu omnes athei unà cum Proconſule, vipera, ejuſque ſacerdotibus hauſti ſunt. Deinde Chriſti beneficio omnes, præter Proconſulem & viperam, in apertum evaſere: ſolutoque Bartholomæo, & Marianna, Philippus vita functus eſt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου Ἀποστόλου Φιλίππου ἑνὸς τῶν δώδεκα Ἀποστόλων.

ΦΙλιππος ὁ εἷς τῶν δώδεκα Ἀποστόλων, ἦν ἐκ τῆς Γαλιλαίας ἀπὸ Βηθσαϊδᾶ. Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ Κυρίου πολλὰ θαύματα ποιήσας, ἐπὶ Τραϊανοῦ τοῦ βασιλέως παρεγένετο καὶ εἰς Ἱεράπολιν, μετὰ τῶν ἑπτὰ θυγατέρων αὐτοῦ, καὶ Μαριάμνης τῆς ἀδελφῆς αὐτοῦ, καὶ Βαρθολομαίου τοῦ Ἀποστόλου, διδάσκων τὸν λόγον τοῦ Χριστοῦ, καὶ πείθων τοὺς ἀπίστους ἀποστῆναι ἀπὸ τῆς πλάνης τῶν εἰδώλων. Εἶχον γὰρ ὡς Θεὸν τὴν ἔχιδναν. Ἐν οἷς ἦν καὶ Νικάνορα γυνὴ τοῦ Ἀνθυπάτου, τοῦ καὶ τιμωρήσαντος αὐτούς. Εἶτα κρεμᾶται ὁ Βαρθολομαῖος καὶ ὁ Φίλιππος κατὰ κεφαλῆς ἀπὸ τοῦ τείχους. Κρεμαμένου δὲ τοῦ Φιλίππου, καὶ προσευχομένου, ἐξαίφνης ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε τοὺς ἀθέους, καὶ τὸν Ἀνθύπατον, καὶ τὴν ἔχιδναν, καὶ τοὺς ἱερεῖς αὐτῆς. Εἶτα διὰ Χριστοῦ ἀνήχθησαν, πλὴν τοῦ Ἀνθυπάτου καὶ τῆς ἐχίδνης. Ἐλύθη δὲ καὶ Βαρθολομαῖος, καὶ ἡ Μαριάμνη τῶν δεσμῶν. Ὁ δὲ Φίλιππος ἐτελειώθη.



ΜΗΝΙ͂ ΤΩ͂Ι ΑΥ͂ΤΩ͂Ι

ΙΕʹ.

Ἄθλησις τῶν ἁγίων ὁμολογητῶν Γουρία, Σαμωνᾶ, καὶ Ἀβίβου, μαρτυρησάντων ἐν Ἐδέσσῃ τῇ πόλει.

Οὗτοι ὑπῆρχον ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, καὶ Ἀντωνίνου Δουκός. Καὶ διαβληθέντες, ὡς τοὺς ἐν τῇ φυλακῇ Χριστιανοὺς θεραπεύοντες, παρέστησαν Γουρίας, καὶ Σαμωνᾶς ἐκ τῆς αὐτῆς πόλεως ὄντες, καὶ ἐν τάξει ἱερέων ὑπάρχοντες. Μὴ πεισθέντες οὖν θῦσαι τοῖς εἰδώλοις, κρεμῶνται ἕκαστος ἀπὸ τῆς μιᾶς χειρὸς ἐπὶ πέντε ὥρας. Εἶτα κατενεχθέντες, καὶ ἐπιμένοντες τῇ ὁμολογίᾳ, πάλιν κρεμῶνται ἀπὸ τῶν ποδῶν. Εἶτα ἐν λάκκῳ σκοτεινῷ ἀμφότεροι βάλλονται, καὶ μετὰ τοῦτο τὰς κεφαλὰς ἀποτέμνονται. Ὁ δὲ ἅγιος Ἄβιβος, διάκονος ὤν, ἐμαρτύρησεν ἐπὶ Λικινίου· διαβληθεὶς, ὅτι κατὰ τὰς κώμας περιερχόμενος, ὑπαναγινώσκει τοῖς ἀπίστοις τὰς ἱερὰς βίβλους, ἐπιστηρίζων αὐτούς. Ὅθεν προστάξει τοῦ παρανόμου καὶ δυσσεβοῦς βασιλέως εἰς κάμινον φρυγάνοις πολλοῖς ἀναφθεῖσαν ἐμβληθεὶς, χαίρων ἐτελειώθη.

Τῇ

EODEM MENSE

Die Decima quinta. 15.

Certamen Sanctorum Confeſſorum Guriæ, Samonæ, & Abibi, qui in urbe Edeſſa martyrium ſubiere.

ISri Diocletiano Imperatore, & Antonino Duce claruerunt. Delati autem, quod Chriſtianos in cuſtodia incluſos curarent, Gurias, inquam, & Samonas, qui ex eadem urbe erant, & in ordine Sacerdotum cenſebantur, coram Duce adducti, neque idolis ſacrificare volentes, ſublimes ex altera tantum manu horis quinque pependere. Deinde depoſiti, cùm in confeſſione perſiſterent, iterum inverſo capite ſuſpenduntur. Poſteà in tenebricoſum lacum conjecti, gladio demum cæſi ſunt. At Sanctus Abibus Diaconus, Licinio Imperatore, martyrium ſubiit: accuſatus enim, quod vicos peragrans, ſacrarum literarum lectione infideles confirmaret, ejuſdem impii & iniqui Imperatoris juſſu in caminum aridis virgultis accenſum injectus, vitam lætus finivit. SS. Gurias, Samonas, & Abibus.

Eo-


154

Eodem die

Certamen Sancti Martyris Demetrii, qui apud Dabudenum martyrio functus eſt.

S. Demetrius M.

DEmetrius Martyr, Maximiano, & Maximino Imperatoribus, ex vico, quem Dabudenum vocant, ortum habuit. Accuſatus verò ab idololatris, quod Chriſtianus eſſet, à Publio Præfecto corripitur, & quæſtione adhibita, non modò fidem Chriſti Dei noſtri liberè confeſſus eſt; ſed etiam Spiritu ſancto cooperante apud circumſtantes de incarnatione Domini noſtri Jeſu Chriſti, deque ineffabili ejus diſpenſatione, ac bonitate & clementia diſſeruit; adjiciens vaniſſimum eſſe idolorum cultum, quando & ipſa, & qui ea colerent, cæci eſſent. Quare vehementi iracundia commotus Præfectus, juſſit eum gladio obtruncari: qui expetitam à Chriſto coronam cœleſtem accepit. Pretioſæ ejus reliquiæ à fidelibus piiſque viris ſepulcro conditæ, curationes accedentibus ad illas emittunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Δημητρίου τοῦ εἰς Δαβουδὴν μαρτυρήσαντος.

Ὁ Μάρτυς Δημήτριος ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ καὶ Μαξιμίνου τῶν βασιλέων, ἀπὸ χωρίου Δαβουδὴ καλουμένου. Ὅστις διαβληθεὶς ὑπὸ τῶν εἰδωλολατρῶν, ὡς Χριστιανὸς, ἐκρατήθη ὑπὸ τοῦ ἡγεμόνος Πουπλίου. Καὶ ἐρωτηθεὶς, ἀνεκήρυξε παῤῥησίᾳ τὴν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν πίστιν. Καὶ ὑπὸ τοῦ ἁγίου Πνεύματος συνεργούμενος, ἐδίδασκε τοὺς παρεστῶτας, περί τε τῆς ἐνανθρωπήσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς ἀῤῥήτου οἰκονομίας, καὶ τῆς ὅλης ἀγαθότητος αὐτοῦ, καὶ φιλανθρωπίας. Εἶπε τὰ περὶ τῶν εἰδώλων ἀπατηλὰ σεβάσματα, καὶ ὅτι κωφά εἰσι καὶ αὐτὰ, καὶ οἱ σεβόμενοι αὐτά. Διὸ εἰς ὀργὴν καὶ θυμὸν κινήσας τὸν ἡγεμόνα, ξίφει τὴν κεφαλὴν ἀποτμηθεὶς, ἐτελειώθη· ἀπολαβὼν οὐράνιον στέφανον παρὰ Χριστοῦ, ὃν ποθήσας ἐμαρτύρησε· τὸ δὲ τίμιον αὐτοῦ λείψανον ἐτάφη παρὰ πιστῶν, καὶ εὐλαβῶν ἀνδρῶν, βρύον ἰάματα τοῖς προσερχομένοις αὐτῷ.



Τῇ ἀυτῇ ἡμέρᾳ

Ἡ σφαγὴ τοῦ ἁγίου Ἰακώβου ἀδελφοῦ τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου.


Ἰάκωβος ὁ Ἀπόστολος ὑπῆρχε μὲν ἐκ τῶν δώδεκα Ἀποστόλων· ἦν δὲ ἀδελφὸς τοῦ ἁγίου Ἰωάννου τοῦ Θεολόγου, υἱὸς Ζεβεδαίου τοῦ ἀπὸ τῆς Γαλιλαίας. Οὓς καὶ ἰδὼν ὁ Κύριος μετὰ Ζεβεδαίου τοῦ πατέρος ἀυτῶν, παρὰ τὴν λίμνην Γεννησαρὲτ, καταρτίζοντας τὰ δίκτυα ἀυτῶν, ὡς ἁλιεῖς, ἐκάλεσεν ἀυτούς. Καὶ ἀθέως ἀφέντες ἅπαντα, καὶ τὸν πατέρα ἀυτῶν, ἠκολούθησαν ἀυτῷ. Καὶ ἦσαν παρ᾽ ἀυτῷ μαθητευόμενοι. Μετὰ δὲ τὴν ἀνάληψιν τοῦ Κυρίου, καὶ τὴν κοίμησιν τῆς Θεοτόκου, ὁ μὲν Ἰωάννης κατέλαβε τὴν Ἔφεσον, διδάσκων ἐν ἀυτῇ· ὁ δὲ Ἰάκωβος ὑπολειφθεὶς εἰς τὰ Ἱεροσόλυμα, καὶ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ διελθὼν, ἐυαγγελιζόμενος τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐκρατήθη παρὰ Ἡρώδου τοῦ Τετράρχου ἐν Καισαρείᾳ τῆς Παλαιστίνης· καὶ ὑπ᾽ ἀυτοῦ σφαγεὶς ἐν μαχαίρᾳ, ἀνέδραμε πρὸς οὐρανὸν, συμβασιλεύσων τῷ Κυρίῳ, καὶ διδασκάλῳ Χριστῷ, τῷ φιλανθρώπῳ Θεῷ ἡμῶν.

Eodem die

Cædes Sancti Jacobi fratris Sancti Joannis Theologi.

Jacobus Apoſtolus ex duodecim Apoſtolis unus, frater fuit Sancti Joannis Theologi, filius Zebedæi ex Galilæa: quos videns Dominus unà cum Zebedæo eorum patre ſecus ſtagnum Genezaret retia reficientes (erant enim piſcatores:) vocavit eos; & ſtatim relictis omnibus, & patre, ſecuti ſunt eum, ejuſque diſciplinæ ſe ſe tradidere. Poſt Domini autem aſcenſionem, & Deiparæ dormitionem, Joannes quidem Epheſum abiit, prædicationis munere ibi fungens; Jacobus verò relictis Hieroſolymis, duodecim tribus Iſraël percurrens, Dominum noſtrum Jeſum Chriſtum ubique annunciabat. Quamobrem ab Herode Tetrarcha in Cæſarea Palæſtinæ urbe comprehenſus, ejuſque juſſu gladio cæſus, in cœlum avolavit: ubi cum Chriſto Domino præceptore ſuo, Deoque noſtro clementiſſimo regnat.

S. Jacobus Apoſtolus frater Joannis.



EODEM MENSE

16. Die Decima ſexta.

Commemoratio Sancti Apoſtoli & Evangeliſtæ Matthæi.

S. Matthæus Apoſt. & Evangeliſta.

MAtthæus Apoſtolus ex duodecim Apoſtolorum numero fuit, publicanus, ac frater Jacobi cognomento Alphæi. Eum Dominus ad telonium ſedentem conſpicatus, vocavit, ut ſe ſequeretur: ac ſtatim ſequentem, in ſuorum diſcipulorum numero adſcripſit. Octavo poſt Chriſti aſcenſionem anno, afflatu ſancti Spiritus, ſanctum Evangelium ejus nomine prænotatum conſcripſit, ſanctæque Hieroſolymorum Eccleſiæ tradidit. Deinde multis gentium provinciis peragratis, verbum Chriſti diſſeminans, ad Anthropophagos uſque penetravit, apud quos multa tormenta perpeſſus, tandem creato illic relictoque Epiſcopo Platone, Hierapolim Syriæ conceſſit: ubi plurimis Chriſtiana fide imbutis atque baptizatis, vivendi finem fecit.

ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

Ις΄.

Μνήμη τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

ΜΑτθαῖος ὁ Ἀπόστολος ὑπῆρχε μὲν καὶ αὐτὸς τῶν δώδεκα Ἀποστόλων εἷς· ἦν δὲ τελώνης· ἀδελφὸς Ἰακώβου τοῦ ἐπιλεγομένου Ἀλφαίου. Καθεζόμενον δὲ αὐτὸν ἐπὶ τὸ τελώνιον ἰδὼν ὁ Κύριος διερχόμενος, ἐκάλεσεν ἐλθεῖν ὀπίσω αὐτοῦ· καὶ ἀναστάντα, καὶ ἀκολουθήσαντα, ἐποίησε καὶ αὐτὸν μαθητήν. Ὅστις μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν, καὶ μετὰ ἔτους ὀκτὼ παρελθεῖν, συνεγράψατο τὸ κατ' αὐτὸν, ἐπιπνοίᾳ τοῦ ἁγίου Πνεύματος, ἅγιον Εὐαγγέλιον τῇ Ἑβραΐδι διαλέκτῳ· καὶ παρέδωκεν αὐτὸ τῇ ἐν Ἱεροσολύμοις ἁγίᾳ ἐκκλησίᾳ. Εἶτα ἀπῆλθεν εἰς πολλὰς ἐθνῶν χώρας, διδάσκων τὸν λόγον τοῦ Χριστοῦ. Ἔτι δὲ καὶ εἰς τοὺς ἀνθρωποκτόνους, οὓς τινες λέγουσιν ἀνθρωποφάγους· ἐν οἷς πολλὰ βασανισθεὶς, καὶ Ἐπίσκοπον ποιήσας Πλάτωνα λεγόμενον· καὶ καταλιπὼν ἐκεῖσε, ἀπῆλθεν εἰς Ἱεράπολιν τῆς Συρίας· κἀκεῖ διδάξας πολλοὺς τὸν λόγον τοῦ Χριστοῦ, καὶ βαπτίσας, τελευτᾷ.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Βαρλαάμ.

Βαρλαὰμ ὁ Μάρτυς ὑπῆρχεν ἀπὸ Ἀντιοχείας τῆς Συρίας· γέρων δὲ τὴν ἡλικίαν ὑπάρχων, διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν προσήχθη τῷ Ἄρχοντι. Καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, τύπτεται μετὰ βουνεύρων, καὶ τοὺς ὄνυχας ἐκριζοῦται. Εἶτα τῷ βωμῷ προσαχθείς, βιαίως ἡπλώθη τὴν χεῖρα, καὶ πῦρ ἐπ' αὐτῇ καὶ λιβανωτὸν δέχεται. Ἐνόμισε γὰρ ὁ Ἄρχων, ὅτι εἰ τοὺς ἄνθρακας μετὰ τοῦ λιβανωτοῦ τῷ βωμῷ ἐπιῤῥίψει, δόξει θυσίαν προσαγαγεῖν τοῖς Θεοῖς. Ὁ δὲ ἀνένδοτος ἵστατο καὶ ἄτρεπτος, στερροτέρας αὐτῷ χαλκοῦ, καὶ σιδήρου φανείσης τῆς δεξιᾶς· ἕως τὴν ὑποκειμένην σάρκα τὸ πῦρ δαπανῆσαν, εἰς τὴν γῆν ἐξέπεσε, διατρυπηθείσης αὐτοῦ τῆς χειρός. Καὶ τούτου γινομένου, οὐδὲ ὅλως ἀπεστράφη πρὸς τὸν βωμὸν, ἀλλ' ἠρετίσατο κατακαῆναι τὴν χεῖρα, ἢ λιβανὸν τῷ βωμῷ ἐμβαλεῖν. Καὶ οὕτω μετὰ γενναίου καὶ στεῤῥοῦ φρονήματος παρέδωκε τὴν μακαρίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ.

Eodem die

Certamen Sancti Martyris Barlaam.

Barlaam martyr Antiochiæ Syriæ natus, ætate ſenex, ob Chriſti confeſſionem ad Præfectum adductus, cùm idolis ſacrificare detrectaret, nervis bubulis graviſſimè cæditur; deinde unguibus evulſis, iterùm admotus altari, explicata per vim manu, ignem ſimul cum thure excipere compulſus eſt. Exiſtimabat enim Præfectus, eum excuſſis ad aram unà cum thure carbonibus, viſum iri victimas diis obtuliſſe. At ille conſtans & immutabilis ſtetit, quovis ære ferroque duriorem dextram tenens, donec ſubjecta caro igni abſumpta in terram decidit, perforata ejus manu; cùm interim ipſe averſo ab ara vultu ſemper eſſet, & manum comburi mallet, quàm thus ad aram projicere: atque ita generoſo firmoque animo beatam animam Domino tradidit. S. Barlaam Martyr.



EODEM MENSE

17. Die Decima ſeptima.

Commemoratio Sancti Patris noſtri Gregorii Thaumaturgi Epiſcopi Neocæſareæ.

S. Gregorius Epiſc. Neocæſareæ.

HIC Aureliano Imperatore floruit, Græcorum parentum filius; ipſe autem Chriſtianus, fideique myſterium à ſanctiſſima Deipara & Joanne Theologo per viſionem edoctus, accepit & donum miraculorum, unde Thaumaturgi cognomentum adeptus eſt ob multa miracula, quæ patravit, ex quibus hæc memorantur. Profectus aliquando Alexandriam, in ſcortum, quod de ſe obloqueretur, dæmonem immiſit, ſed paulo poſt etiam fugavit. A Phædimo Amaſeæ Epiſcopo, ordinatur Epiſcopus, cùm Amaſeæ non adeſſet: tanta erat virtutum illius opinio. Saxum ingens aliò tranſtulit: eoque ſigno idolorum æditum ad fidem converſum baptizavit. Paludem cauſam rixarum inter duos fratres, exſiccavit. Fluvium defixo in terram baculo, qui & in magnam excrevit arborem, coërcuit. Cùmque innumera alia portenta edidiſſet, migraturus ad Dominum, gratias illi agebat, quod tot relinqueret in ſua urbe infideles, quot Chriſtianos invenerat: atque hunc in modum deceſſit.

ΜΗΝΙ' ΤΩ͂ Α'ΥΤΩ͂


ΙΖ'.

Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ.

Οὗτος ἦν ἐπ᾽ Αὐρηλιανοῦ τοῦ βασιλέως, υἱὸς ὑπάρχων ἑλλήνων· αὐτὸς δὲ γεγονὼς Χριστιανὸς, καὶ τὸ τῆς πίστεως μυστήριον διδαχθεὶς διὰ ὀπτασίας παρὰ τῆς ὑπεραγίας Θεοτόκου, καὶ τοῦ Θεολόγου Ἰωάννου. Ἔλαβε καὶ τὸ τῶν θαυματουργιῶν χάρισμα, καὶ ἐκλήθη θαυματουργὸς, ποιῶν θαύματα πολλὰ, ἐξ ὧν εἰσὶ καὶ ταῦτα. Εἰς γὰρ Ἀλεξάνδρειαν ἀπελθὼν, καὶ κατηγορηθεὶς ὑπὸ πόρνης, ἐπιπέμπει αὐτῇ δαίμονα· καὶ πάλιν ἰᾶται. Εἶτα μὴ παρὼν ἐν Ἀμασείᾳ, ὅμως διὰ τὴν αὐτοῦ ἀρετὴν, χειροτονεῖται Ἐπίσκοπος ὑπὸ Φαιδίμου τοῦ Ἀμασείας. Λίθον δὲ μέγαν ποιήσας περιπατῆσαι, ἐβάπτισε τὸν προσμονάριον τῶν εἰδώλων. Ἀδελφῶν δὲ δύο διὰ λίμνην μαχομένων, ἐξήρανεν αὐτήν· καὶ τὴν ῥάβδον πήξας, ἔστησε ποταμόν· ἥτις καὶ ἐγένετο εἰς δένδρον μέγα· καὶ ἄλλα μυρία ποιήσας, ἐν τῷ μέλλειν ἐκδημεῖν ηὐχαρίστει τῷ Θεῷ, ὅτι ἐν τῇ αὐτοῦ πόλει τοσούτους ἀπίστους κατέλιπεν, ὅσους εὗρε Χριστιανούς. Καὶ οὕτως ἐτελειώθη.

EO-

ΜΗΝΙ'



ΜΗΝῚ ΤΩ͂Ι ΑΥ̓ΤΩ͂Ι

ΙΗ'.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Πλάτωνος.

Πλάτων ὁ Μάρτυς ὑπῆρχεν ἀπὸ Ἀγκύρας τῆς Γαλατίας· ἀδελφὸς τοῦ ἁγίου Μάρτυρος Ἀντιόχου· διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν ἐκρατήθη παρὰ Ἀγριππίνου τοῦ ἡγεμόνος, ἔτι νέος τὴν ἡλικίαν. Καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, τύπτεται ὑπὸ δώδεκα στρατιωτῶν μετὰ ῥαβδίων. Καὶ πάλιν ἁπλωθεὶς ἐπὶ κραβάτου σιδηροῦ πεπυρακτωμένου, ῥαβδίζεται· καὶ σφαίραις σιδηραῖς πεπυρακτωμέναις τὰς μασχάλας καὶ τὰς πλευρὰς καταφλέγεται· ὥστε καὶ τὴν φλόγα διὰ τῶν ῥινῶν αὐτοῦ σὺν καπνῷ ἐξερχομένην ὁρᾶσθαι. Εἶτα ἐλωροτομήθη ἀπὸ τῆς κεφαλῆς μέχρι τῶν πτερνῶν τὰς ψύας αὐτοῦ. Ἐξ ὧν λαβὼν ὁ ἅγιος ἕνα λῶρον, ἀπέρριψεν εἰς τὸ πρόσωπον Ἀγριππίνου, διελέγχων αὐτοῦ τὴν ὠμότητα. Εἶτα ἐμβάλλεται εἰς φυλακὴν, καὶ νηστεύει ἡμέρας ὀκτώ. Τοῖς δὲ προσάγουσιν αὐτῷ ἄρτον, καὶ λέγουσιν, ὅτι φάγε, καὶ χλευάζουσιν, ἀπεκρίνατο· Ἐμὲ τρέφει ὁ λόγος τοῦ Χριστοῦ μου. Καὶ πάλιν ἐκβληθεὶς τῆς φυλακῆς, καὶ βασανισθεὶς, χαίρων ἀπεκεφαλίσθη.

EODEM MENSE

Die Decima octava. 18.

Certamen Sancti Martyris Platonis.

Plato martyr Ancyræ Galatiæ natus, frater ſancti martyris Antiochi, adhuc adoleſcens ab Agrippino Præfecto ob Chriſti confeſſionem comprehenſus, cùm idolis ſacra facere nollet, virgis cæditur à duodecim militibus: deinde ſuper candens ferreum grabatum extenſus, iterum fuſtibus percutitur: tùm ferreis pilis candentibus axillas circum & latera aduritur, ut flamma fumo permixta ex illius naribus erumperet. Mox diſſecta cute interciduntur à capite per lumbos ad talos uſque lora, quorum unum in Agrippini faciem objurgata illius crudelitate contorſit. Poſt hæc carceri includitur: unde cùm poſt octo dierum inediam ſuaderetur, ut cibum ſumeret, ſimulque irrideretur: Verbum, inquit, Chriſti mei me alit. Rurſus itaque è cuſtodia eductus, excruciatuſque, caput lictori amputandum lætus porrexit. S. Plato Martyr.



Eodem die

Certamen Sancti Martyris Romani, & ſocii infantis.


S. Romanus, & ſocius Infans MM.

HIC impio Maximiano imperante martyrium ſubiit. Obviam enim factus Aſclepiadi Præfecto tùm, cùm idolorum fanum ingrederetur, zelo accenſus, conatus eſt hominem ab hujuſmodi propoſito avertere, aſſerens, idola nequaquam deos eſſe, ſed unum eſſe Chriſtianorum Deum. Quare colaphis cæſus, in equuleum rapitur, & depectitur: qui dum torqueretur, pergebat dicere, unum eſſe Deum Chriſtianorum, quem vel infantes agnoſcunt. Productus itaque ſancti juſſu ad redarguendum Præfectum infans, & interrogatus à Præfecto, quemnam Deum coleret: Eum, inquit, quem Chriſtiani colunt, & adorant; ſeque ita à matre edoctum. Verberibus igitur exceptus Infans præſente matre, aquam popoſcit, qua ſitim depelleret. Cui mater: Ne bibas, ait, fili, ex hac aqua, ſed vade, & ex aqua vivente bibe. Et hunc in modum decollatus eſt. Romanus verò poſt exciſam linguam rurſus expeditè loquens, in carcerem detruditur, ibique Maximiani juſſu ſuffocatus, martyrii coronam adeptus eſt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τοῦ ἁγίου Μάρτυρος Ῥωμανοῦ καὶ τοῦ συν αὐτῷ νηπίου.

ΕΠΙ' Μαξιμιανοῦ τοῦ παρανόμου καὶ οὗτος ἐμαρτύρησε. Καθ' ὁδὸν γὰρ συναντήσας τῷ ἐπάρχῳ Ἀσκληπιάδῃ εἰς τὸν τῶν εἰδώλων ἀπερχομένῳ ναὸν, ζηλώσας, ἐπειράθη κωλῦσαι αὐτὸν, εἰπὼν, ὅτι οὐκ εἰσὶ τὰ εἴδωλα θεοί· ἀλλ' εἷς Θεὸς ὁ τῶν Χριστιανῶν. Ὅθεν τύπτεται εἰς τὸ στόμα. Καὶ κρεμασθεὶς ξέεται. Ξεόμενος δὲ ἔλεγεν, ὅτι εἷς Θεὸς ὁ τῶν Χριστιανῶν ὃν καὶ τὰ νήπια ἐπίστανται. Ἠνέχθη δὲ καὶ παιδίον προστάξει τοῦ ἁγίου, εἰς ἔλεγχον τοῦ ἐπάρχου. Καὶ ἔφη πρὸς αὐτὸ ὁ ἔπαρχος. Ποῖον Θεὸν σέβεις; τὸ δὲ εἶπεν· ᾧ δουλεύουσιν οἱ Χριστιανοί, καὶ πιστεύουσι· καὶ τοῦτο ἐδιδάχθην ὑπὸ τῆς μητέρος μου. Εἶτα τυπτόμενον τὸ παιδίον, τῆς μητέρος παρεστώσης, ἐδίψησε, καὶ ἐζήτησε τὸ ὕδωρ. Ἡ δὲ μήτηρ εἶπε· μὴ πίῃς τέκνον ἐκ τοῦ ὕδατος τούτου· ἀλλ' ἄπελθε, πίε ἐκ τοῦ ζῶντος ὕδατος· καὶ οὕτως ἀπεκεφαλίσθη. Ὁ δὲ ἅγιος ἐκτμηθεὶς τὴν γλῶσσαν, καὶ πάλιν λαλῶν, ἐνεβλήθη εἰς φυλακήν. Καὶ τῇ προστάξει τοῦ Μαξιμιανοῦ ἐν αὐτῇ ἀποπνιγεὶς, τὸν τοῦ μαρτυρίου στέφανον ἔλαβεν.



ΜΗΝΙ' Τῼ͂ Α'ΥΤῼ͂

ΙΘ'.

Α'θλησις τοῦ ἁγίου Μάρτυρος, καὶ θαυματούργου Α'ζη.

Ε'Κ τῆς χώρας τῶν Ι'σαύρων οὗτος γενόμενος, ἐστρατεύθη παρὰ Λικινίου τοῦ δυσσεβοῦς. καταλιπὼν δὲ τὴν στρατείαν, ἀπελθὼν ἐν ταῖς ἐρήμοις ἐμόναζε, σχολάζων εὐχαῖς, καὶ ἀγρυπνίαις· ἔνθα πολλὰς ἰάσεις καὶ θαυμάτων ἐνεργείας ἐξετέλει· κυνηγετοῦντων δὲ διὰ θήραν ἀποσταλέντων ἐν τῷ ὄρει, φανερὸς ὁ Α'ζης τῷ Διοκλητιανῷ γίνεται. Ο' δὲ πέμψας στρατιώτας, καὶ κρατήσας αὐτὸν, παρέστησε τῷ βήματι αὐτοῦ, σὺν τοῖς ἑκατὸν πεντήκοντα στρατιώταις, πιστεύσασι καὶ αὐτοῖς. Διὰ γὰρ προσευχῆς ὕδωρ κατὰ τὴν ὁδὸν, ἄνυδρον οὖσαν, ἐξαγαγὼν, καὶ ποτίσας αὐτοὺς, ἐπεσπάσατο πρὸς τὴν πίστιν. Ο'ργισθεὶς δὲ Διοκλητιανὸς, παρέδωκεν αὐτοὺς τιμωρηθῆναι Α'κυλίνῳ τῷ ἐπάρχῳ. Ο' δὲ ἐκ τριχῶν κρεμάσας τὸν ἅγιον, καὶ μετὰ σιδηρῶν ὀνύχων ξέσας, ἐνέβαλεν εἰς κάμινον πυρός. Καὶ ἰδοῦσα αὐτὸν ἡ γυνὴ τοῦ ἐπάρχου, μετὰ τῆς θυγατρὸς, ἀβλαβῆ ἐξελθόντα, ἐπίστευσαν. Ο'ργισθεὶς δὲ ὁ ἔπαρχος ἀπεκεφάλισεν αὐτὰς, καὶ τοὺς στρατιώτας, καὶ τὸν ἅγιον.

Τῇ

EODEM MENSE

Die Decima nona. 19.

Certamen Sancti Martyris Azæ Thaumaturgi.

ISTE ortum duxit ex Iſaurorum regione, ſub impio Licinio militans. Relicta autem militia, in eremum profectus, monaſticam vitam ſuſcepit, orationibus ac vigiliis ſe ſe exercens. Hinc multis miraculis & curationibus inſignis fuit. Verùm venatoribus montem indagine luſtrantibus inventus, ad Diocletianum defertur. Miſit itaque Diocletianus milites, qui correptum Azam ſuo ſiſterent tribunali: quorum ille centum quinquaginta, cùm aridam ingreſſi viam, ſitim qua conficiebantur, educta repente per orationem aqua extinxiſſent, ad fidem convertit. Quamobrem in eos omnes incenſus ira Diocletianus, tradidit Aquilino præfecto, ut de illis ſupplicium ſumeret. Aza ergo de ſublimi per capillos appenſus, unguibus ferreis excarnificatur: deinde in fornacem ardentem injectus, cùm illæſus intactuſque inde evaſiſſet, eoque ſigno Præfecti uxorem ac filiam ad Chriſti fidem traduxiſſet, unà cum his, ac militibus omnibus, ab irato Præfecto capite plectuntur.

S. Aza Martyr.

Eo-



Eodem die

Commemoratio Sancti Prophetæ Abdiæ.

S. Abdias Propheta.


SAnctus Propheta Abdias ex terra Sichem in regione Palæſtinæ fuit, ſervus Achab Hebræorum Regis. Cùm autem idem Hebræorum Rex Achab ad ſanctum glorioſum magnumque Prophetam Eliam duos quinquagenarios miſiſſet, qui illum de monte ad ipſum regem arcerſerent, lapſuſque de cœlo Eliæ precibus ignis illos cum ſua cohorte conſumpſiſſet, miſit & hunc tertium, qui Eliam vocaret atque ad ipſum adduceret. At iſte ubi in conſpectum Prophetæ venit, ad ejus pedes prolapſus, orare cœpit, ut ſibi parceret, neque igni comburi ſineret. Tùm verò Propheta ad Regem deſcendit. Abdias autem relicto Rege ſecutus eſt ſanctum Eliam, ejuſque diſciplinæ ſe tradidit. Cùmque multa prophetaſſet, obiit, & in ſepulcrum patrum ſuorum illatus eſt.

Τῇ αὐτῇ ἡμέρᾳ.

Μνήμη τοῦ ἁγίου Προφήτου Ἀβδιοῦ.

Ὁ Ἅγιος Προφήτης Ἀβδιοῦ ἐγένετο ἐκ τῆς γῆς Συχὲμ, χώρας τῆς Παλαιστίνης, Ἔδουλευε δὲ τῷ βασιλεῖ τῶν Ἑβραίων Ἀχαάβ. Ὅτε δὲ ἀπέστειλεν ὁ αὐτὸς βασιλεὺς τῶν Ἑβραίων ὁ Ἀχαάβ, πρὸς τὸν ἅγιον Ἡλίαν τὸν ἔνδοξον, ἐ μέγαν Προφήτην, τοὺς δύο πεντηκοντάρχους, εἶπεν αὐτῷ, κατελθεῖν ἀπὸ τοῦ ὄρους πρὸς αὐτὸν, καὶ διὰ προσευχῆς τοῦ Προφήτου κατεκάησαν μετὰ τοῦ λαοῦ ἑαυτῶν· πεσόντος πυρὸς ἐξ οὐρανοῦ καὶ καταφαγόντος αὐτοὺς, ἀπέστειλε καὶ τοῦτον τρίτον, ἵνα καλέσῃ αὐτὸν, καὶ ἀγάγῃ πρὸς αὐτόν. Καὶ ἀπελθὼν πρὸς τὸν Προφήτην ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ, καὶ ἐδεήθη αὐτοῦ, ἵνα μὴ κατακαῇ· καὶ οὐ κατεκάη. Τότε ἦλθε πρὸς τὸν βασιλέα ὁ Προφήτης. Καὶ ἀπὸ τότε καταλιπὼν τὸν βασιλέα ὁ Ἀβδιοῦ, ἠκολούθει τῷ ἁγίῳ Ἡλίᾳ. Καὶ γενόμενος αὐτοῦ μαθητὴς, καὶ προφητεύσας πολλὰ, ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ τάφῳ τῶν πατέρων αὐτοῦ.

Google



193

ΜΗΝΙ ΤΩ͂ Α'ΥΤΩ͂

Κ'.

Α'θλησις τοῦ ἁγίου Μάρτυρος Δασίου τοῦ ἐν Δοροστόλῳ.

ΕʼΝ τῇ αὐτῇ πόλει τοιοῦτον ἔθος ἦν τοῖς Ἕλλησι· τῷ Κρόνῳ ἐπετέλουν ἑορτὴν ἐτησίως. Πρὸ τριάκοντα δὲ ἡμερῶν τῆς τοιαύτης μυσαρᾶς ἑορτῆς, ἐπελέγοντο ἕνα τινὰ τῶν στρατιωτῶν, νέον καὶ εὐειδῆ. Καὶ εὐτρέπιζον πρὸς θυσίαν, ἐνδύοντες αὐτὸν ἱμάτια βασιλικά, καὶ προτρέποντες ἀποπληροῦν πᾶσαν ἐπιθυμίαν αὐτοῦ, ὡς μετὰ τριάκοντα ἡμέρας μέλλοντα ἑαυτὸν ἐπισφάξαι τῷ βωμῷ τοῦ Κρόνου. Ἐλθόντος δὲ τοῦ κλήρου καὶ ἐπὶ Δάσιον τὸν στρατιώτην, καὶ τῶν συστρατιωτῶν περιστάντων αὐτῷ καὶ πρὸς τὰ ὅμοια ἐκβιαζομένων, ἐκεῖνος ἀγαθῷ λογισμῷ χρησάμενος, ἐσκόπησε τὸ συμφέρον, εἰπών· ὅτι μέλλω θανεῖν, κρεῖττον μοι ἐστίν, ὡς Χριστιανῷ, ὑπὲρ τοῦ Χριστοῦ μου ἀποθανεῖν. Ὅθεν παραστὰς τῷ τοῦ Ἄρχοντος βήματι, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τοῦτο μαθόντων, καὶ προσταξάντων, καὶ πολλὰ τιμωρησάντων, τελευταῖον τὴν διὰ ξίφους ἐδέξατο τελευτήν.

EODEM MENSE

Die Vigeſima. 20.

Certamen Sancti Martyris Daſii in urbe Doroſtolo.

IN hac urbe mos iſte Græcorum erat, ut triginta ante diebus, quàm Saturnalia celebrarent, unum aliquem ex militibus inſigni forma adoleſcentem deligerent, quem victimam Saturno deſtinabant. Hunc regio cultu indutum hortabantur, ut genio indulgeret, omneſque ſuas cupiditates expleret: quippe qui poſt trigeſimam diem ad Saturni aram ſeipſum eſſet immolaturus. Lectus igitur forte Daſius miles, apud circumſtantes commilitones, qui eum ad rem hujuſmodi compellebant, optima ratione uſus, oblatamque ſibi occaſionem arripiens: Quando, inquit, moriendum mihi eſt, præſtat ſane mibi, ut Chriſtiano, pro Chriſto meo mortem oppetere. Quamobrem Diocletiani & Maximiani juſſu ad Præfecti tribunal productus, multiſque tormentis excruciatus, tandem gladio cæſus eſt. S. Daſius Martyr.

Τῇ Eo-



Eodem die

Certamen Sanctorum Nerſæ Epiſcopi, & Joſephi ejus diſcipuli, qui in Perſide martyrium ſubiere.


SS Nerſas Epiſcopus, & Joſeph MM.

ISti Sancti in Perſide habitabant, ſingulari virtute præditi, Deumque verum timentes, qui fecit cœlum, & terram, & mare, & omnia quæ in eis ſunt, & ſecundùm ejus mandata ambulantes. Et Nerſas quidem primum Epiſcopus fuir, & populum ad pietatem hortando, complures diſcipulos fecit, in quibus fuit & Joſeph, qui poſtea ab eodem Nerſa ob inſignes virrures Epiſcopus eſt ordinatus. Cùm igirur ab atheis Perſis, quod populum ab errore ad virtutem converterent, comprehenſi ſunr, tunc Nerſas octoginta annorum erat, & Joſeph octoginra quinque. Adducti verò ad Regem: Si, inquiunt, ò Rex, nos ſepties occiſos ad vitam revocaveris, non poteris tamen ab amore Chriſti abducere. Hæc cùm dixiſſent, accepta gladii ſententia, alacri animo occubuere.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων τῶν ἐν Περσίδι μαρτυρησάντων Νηρσᾶ Ἐπισκόπου, καὶ Ἰωσὴφ μαθητοῦ αὐτοῦ.

ΟὟτοι οἱ ἅγιοι κατῴκουν ἐν Περσίδι, ἐπιμελόμενοι ἀρετῆς, καὶ φοβούμενοι τὸν ἀληθινὸν Θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, καὶ πορευόμενοι κατὰ τὰς ἐντολὰς αὐτοῦ. Καὶ ὁ μὲν Νηρσᾶς γεγονὼς πρότερον Ἐπίσκοπος, ἐδίδασκε τὸν λαὸν τὴν εὐσέβειαν, πολλοὺς μαθητὰς ποιησάμενος· ἐν οἷς ἦν καὶ Ἰωσὴφ, ὁ ὕστερον διὰ πολλὴν ἀρετὴν προχειρισθεὶς ὑπὸ τοῦ Νηρσᾶ Ἐπίσκοπος. Ὅτε δὲ, διὰ τὸ ἐπιστρέφειν τὸν λαὸν ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν, ἐκρατήθησαν ὑπὸ τῶν ἀθέων Περσῶν· ὑπῆρχεν ὁ μὲν Νηρσᾶς ἐτῶν ὀγδοήκοντα· ὁ δὲ Ἰωσὴφ ὀγδοηκονταπέντε. Παραστάντες δὲ τῷ βασιλεῖ, ἔφησαν αὐτῷ. Ὅτι εἰ δυνάσαι βασιλεῦ μετὰ τὸ θανατῶσαι ἡμᾶς ἑπτάκις ἀναστῆσαι, οὐδὲ οὕτως ἡμᾶς χωρίσεις ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. Καὶ ταῦτα εἰπόντες, τὴν διὰ τοῦ ξίφους προθύμως ἐδέξαντο τελευτήν.



Τῇ αὐτῇ ἡμέρᾳ.

Ἄθλησις τῶν ἁγίων, Ἰωάννου, Σαβωρίου, καὶ Ἰσαακίου τῶν Ἐπισκόπων, καὶ Δαπίου, καὶ Ἰσαακίου τῶν πρεσβυτέρων.

ΚΑΙ' οὗτοι οἱ ἅγιοι ἐν Περσίδι ἐτύγχανον Ἐπίσκοποι χρηματίζοντες. Ἐπεὶ δὲ τὸν λαὸν ἐδίδασκον, τὴν πλάνην τῶν Περσῶν καταλῦσαι σπουδάζοντες, διὰ λόγων ἰσχυρῶν ἀποδεικνύοντες, μηδὲν εἶναι τὰ εἴδωλα, μήτε τὸν ἥλιον, ἢ τὸ πῦρ θεοὺς, ἀλλὰ κτίσματα καὶ δοῦλα, οὐ μόνον τοῦ Θεοῦ, ἀλλὰ καὶ τῶν ἀνθρώπων. Διὰ γὰρ ἡμετέραν ὑπηρεσίαν ἔφασκον ταῦτα γενέσθαι, εἷς δὲ μόνος Θεὸς ὁ ταῦτα παραγαγών· διεβλήθησαν τῷ βασιλεῖ. Ὁ δὲ, μετὰ θυμοῦ μεγάλου καὶ ὀργῆς, πέμψας στρατιώτας ἐκράτησεν αὐτούς. Οἵτινες δέσμιοι παρέστησαν τῷ βήματι αὐτοῦ. Καὶ γυμνωθέντες, διαφόρως ἐμαστίζοντο, καὶ κατεξαίνοντο. Ἐπεὶ δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν οὐ μόνον οὐκ ἠρνήσαντο, ἀλλὰ καὶ Θεὸν ἀληθινὸν, καὶ τῆς τῶν Περσῶν πλάνης καταλύτην ἀνωμολόγουν, προστάξει τοῦ τυράννου, τῆς πόλεως ἔξω, σὺν τῷ ἁγίῳ Ὠνὰμ τῷ ἀσκητῇ, ἐλιθοβολήθησαν.

Eodem die

Certamen Sanctorum Joannis, Saborii, & Iſaacii Epiſcoporum: Dapii, & Iſaacii Presbyterorum.

ISti quoque Sancti in Perſide Epiſcopi munus ſuum diligenter obibant, populum docentes, errorem Perſarum depellere ſatagentes, vehementique oratione demonſtrantes, nequaquam deos eſſe idola, ſolem, & ignem, ſed opera, & famulantia non Deo tantùm, ſed etiam hominibus: ad noſtrum enim miniſterium hæc facta eſſe, unumque Deum illa produxiſſe. Delati ergo ad Regem ſunt: qui furore percitus, miſſis militibus illos comprehendi juſſit. Vincti autem, & ad ejus tribunal adducti, nudatique, virgis cæduntur, atque depectuntur. Cùmque Dominum noſtrum Jeſum Chriſtum non modò non abnegarent, verùm etiam Deum verum, eumque erroris Perſarum everſorem profiterentur, Tyranni juſſu, extra urbem unà cum Sancto Onam aſceta lapidibus obruti ſunt.

SS. Joannes, Saborius, & Iſaacius Epiſcopi: Dapius, & Iſaacius Presbyteri.



Eodem die

Certamen Sanctorum Boëthazat Eunuchi, & Saſannis, & ſociorum virorum, ac mulierum.

SS. Boëthazat, & Saſannes, & ſocii MM.

ISti etiam in eadem impia, & idololatriæ dedita iniquorum Perſarum regione claruere. Et Boëthazar quidem à prima ætate Chriſtianus, correptus, cùm ſoli igniquc ſacrificare nollet, juſſu Regis Perſarum, unà cum Sanctis, poſt multa tormenta & cruciatus interemptus fuit. In horum numero Thecla, & Anna ſanctimoniales, & plures aliæ feminæ, plurima pro Chriſto perpeſſæ, cùm vehementius impii Regis immanitatem & ſtultitiam redarguiſſent, capite plexæ ſunt. Similiter & tres virgines gladio cæſæ occubuere: ex quorum ſanguine enata ficus, curationum donum fidelibus dedit, morbum omnem languoremque depellens, donec athei & impii Manichæi ob divinorum, quæ edebantur, miraculorum frequentiam invidia ſtimulati, illam ſuccidcrunt.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τῶν ἁγίων Βοηθαζὰτ τοῦ Εὐνούχου, καὶ Σασάνους, καὶ τῶν σὺν αὐτοῖς ἁγίων ἀνδρῶν, καὶ γυναικῶν.

ΟΜοίως καὶ οὗτοι ἐν τῇ δυσσεβεστάτῃ καὶ κατειδώλῳ χώρᾳ τῶν παρανόμων Περσῶν ἐτύγχανον. Καὶ ὁ μὲν Βοηθαζὰτ Χριστιανὸς ἐκ βρέφους ὤν, κρατηθεὶς, καὶ μὴ πεισθεὶς θῦσαι τῷ ἡλίῳ καὶ τῷ πυρὶ, προστάξει τοῦ Περσῶν βασιλέως, ἅμα τοῖς ἁγίοις, μετὰ πολλὰς βασάνους καὶ τιμωρίας ἀνῃρέθη· μεθ᾽ ὧν καὶ γυναῖκες ἅγιαι ἀσκήτριαι, Θέκλα, καὶ Ἄννα, καὶ ἕτεραι πολλαὶ, πλεῖστα ὑπὲρ Χριστοῦ παθοῦσαι, καὶ στεῤῥῶς ἐλέγξαντες τὴν ὠμότητα τοῦ δυσσεβοῦς βασιλέως, καὶ παραφροσύνην, ἀπεκεφαλίσθησαν. Ὁμοίως καὶ τρεῖς παρθένοι μαχαίραις κατεκόπησαν. Ὅπου δὲ ἔῤῥευσε τὸ αἷμα αὐτῶν, συκῆ ἀναβλαστήσασα, ἰαμάτων χάριν παρεῖχε τοῖς πιστοῖς, θεραπεύουσα πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. Ὕστερον δὲ φθονήσαντες τῇ τῶν θείων θαυμάτων ἐνεργείᾳ οἱ ἄθεοι καὶ ἀσεβεῖς Μανιχαῖοι, ἐξέκοψαν τὴν πάντιμον συκῆν.

Eo- Τῇ



Τῇ αὐτῇ ἡμέρᾳ


Μνήμη τοῦ ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου.

Γρηγόριος ὁ Δεκαπολίτης, ὑπῆρχεν ἐκ τῆς ἐπαρχίας Ἰσαυρίας Δεκαπόλεως, ἐπὶ τῶν χρόνων τῶν δυσσεβῶν Εἰκονομάχων. Εἰς ἡλικίαν δὲ ἐλθών, βουληθέντων τῶν γονέων πρὸς γάμον ἐκδοῦναι αὐτόν, φυγὼν γέγονε μοναχός. Καὶ εἰσῆλθεν εἰς σπήλαιον, ἐν ᾧ δαίμονες πολλοὶ κατῴκουν. Οἳ καὶ τύψαντες τὸν ἅγιον, τελευταῖον διὰ προσευχῆς αὐτοῦ, ἐφυγαδεύθησαν. Εἶτα ὑπὸ θείας ὀπτασίας τὸ σπήλαιον ἀφεὶς, καὶ ἀπὸ πόλεως εἰς πόλιν ἀπερχόμενος, κατήντησεν εἰς Συράκουσαν πόλιν τῆς Σικελίας, εἰσελθὼν εἰς ἕνα τῶν πύργων τοῦ τείχους, ἐν ᾧ θαύματα πολλὰ καθ᾽ ἑκάστην ἐπετέλει. Εἶτα ἀπῆλθεν εἰς Θεσσαλονίκην· εἶτα εἰς τὸ Βυζάντιον, κατὰ θέαν τοῦ θείου Συμεῶνος ἐκεῖσε δεσμώτου ὄντος, διὰ τὴν εὐσέβειαν. Ὧτινι ἐνδιατρίψας ἱκανῶς, καὶ τὰ περὶ ψυχῆς συμφιλοσοφήσας, μετ᾽ ὀλίγον πρὸς Κύριον ἐξεδήμησεν.

Eodem die

Commemoratio Sancti Gregorii Decapolitæ.

Gregorius Decapolita ex Decapoli in Iſauriæ provincia fuit temporibus impiorum Iconomachorum. Ubi autem adoleſcentiam attigit, paratas ſibi à parentibus nuptias vitaturus, monachus fit, & in ſpeluncam ſubit dæmonum frequentia infeſtam, à quibus verberatus, oratione tandem illos inde exturbavit. Sed per viſum à Deo monitus, relicta ſpelunca, cæpit terratum orbem peragrare. Cùm igitur Syracuſas Siciliæ urbem veniſſet, in quadam muri civitatis turri habitavit, ubi & plurima miracula edidit. Mox Theſſalonicam petiit, deinde Byzantium. Illic aliquanto poſt, juxta viſionem divini Simeonis ibidem pietatis cauſa vincti, cum quo abundè verſatus eſt, ac de anima philoſophatus, migravit ad Dominum. S. Gregorius Decapolita.



EODEM MENSE

21. Die Vigeſima prima.

Ingreſſus Deiparæ, cùm ad templum præſentata fuit, & in Sancta Sanctorum introducta.

Præſentatio B.V.M.

POſt admirabilem Sanctorum Joachim & Annæ partum, ſecundus à venerabili glorioſæ Deiparæ, ſemperque Virginis Mariæ nativitate jam exibat annus, cùm Joachim uxori ſuæ Annæ dixit: Ducamus eam in templum Domini, quemadmodum polliciti ſumus. Cui Anna: Tertium prius annum expleat, ne forte parentum deſiderio non dirigatur in conſpectu Domini. Poſt tertium igitur annum ait Joachim: Accerſamus immaculatas Hebræorum puellas, quæ accenſas lampades præferant, ne ad ea, quæ retro ſunt, ſe convertat puella, ſed mens ejus tota in templo Domini mancipetur. Atque ita fecerunt. Excipiens igitur puellam Zacharias, inquit: Magnificet Dominus nomen tuum: ſimulque eam in altaris gradu collocavit. Et nutriebatur ab Angelo, donec annum duodecimum attigit. Cùmque tempus deſponſationis adveniſſet, accepit eam Joſeph à Pontificibus in templo Domini.

EO-


ΜΗΝΙ' ΤΩ͂Ι ΑΥ'ΤΩ͂Ι

ΚΑ'.

Τὰ εἰσόδια τῆς Θεοτόκου, ὅτε προσηνέχθη ἐν τῷ ναῷ καὶ εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων.

ΜΕτὰ τὸν παράδοξον τόκον τῶν ἁγίων Ἰωακεὶμ καὶ Ἄννης, πληρωθέντος διετοῦς χρόνου ἀπὸ τῆς σεπτῆς γεννήσεως τῆς ἐνδόξου Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, εἶπεν Ἰωακεὶμ τῇ γυναικὶ αὐτοῦ Ἄννῃ. Ἀπαγάγωμεν αὐτὴν ἐν τῷ ναῷ Κυρίου, καθὼς ὑπεσχόμεθα. Καὶ εἶπεν Ἄννα· μείνωμεν τὸ τρίτον ἔτος· μήποτε ζητήσῃ πατέρα, ἢ μητέρα. Καὶ οὐ κατευθυνθήσεται ἐνώπιον Κυρίου. Καὶ μετὰ τρία ἔτη, εἶπεν Ἰωακείμ. Καλέσωμεν τὰς θυγατέρας τῶν Ἑβραίων τὰς ἀμιάντους, καὶ λαβέτωσαν ἀνὰ λαμπάδα, καὶ ἔστωσαν αἱ λαμπάδες καιόμεναι· μήποτε στραφῇ ἡ παῖς εἰς τὰ ὀπίσω, καὶ αἰχμαλωτισθῇ ἡ διάνοια αὐτῆς ἐν ναῷ Κυρίου. Καὶ ἐποίησαν οὕτως. Καὶ ἐδέξατο αὐτὴν Ζαχαρίας καὶ εἶπεν αὐτῇ. Μεγαλυνάι Κύριος τὸ ὄνομά σου. Καὶ ἐκάθισεν αὐτὴν ἐπὶ τοῦ βαθμοῦ τοῦ θυσιαστηρίου· καὶ ἦν τρεφομένη ὑπὸ Ἀγγέλου· ἕως ἐγένετο ἐτῶν δώδεκα. Καὶ φθάσαντος τοῦ καιροῦ τῆς μνηστείας, παρέλαβεν αὐτὴν Ἰωσὴφ ἀπὸ τῶν ἀρχιερέων ἐν ναῷ Κυρίου.

ΜΗΝΙ'



ΜΗΝΙ῾ ΤΩ͂Ι ΑΥ῾ΤΩ͂Ι

ΚΒ´.

Α῎θλησις τῶν ἁγίων Μαρτύρων Μάρκου, καὶ Στεφάνου.


ΕΠΙ῍ τῆς βασιλείας τοῦ παρανόμου Διοκλητιανοῦ καὶ οὗτοι οἱ ἅγιοι τὸν τῆς ἀθανασίας ὑπὲρ τοῦ Χριστοῦ διήθλησαν ἀγῶνα. Υ῾πάρχοντες γὰρ ἐκ τῆς πόλεως Α᾽ντιοχείας τῆς Πισιδίας, καὶ πανταχοῦ παῤῥησίᾳ τοῖς προσερχομένοις τὸν τῆς ἀληθείας λόγον κηρύττοντες, καὶ τὸν Χριστὸν Θεὸν ἀληθινὸν ὁμολογοῦντες, καὶ Κύριον τοῦ παντὸς, διεβλήθησαν Μάγνῳ τῷ ἡγεμόνι, καὶ κρατηθέντες, καὶ πλεῖστα βασανισθέντες, καὶ μὴ πεισθέντες ἀρνήσασθαι τὸν Χριστὸν, συνεδέθησαν τῷ, μετὰ τῶν ἁγίων Μαρτύρων τῶν λεγομένων Καλυντιανῶν, ὡς φωστῆρι ἐκλάμποντι Μάρκῳ καὶ αὐτῷ καλουμένῳ. Καὶ διαφόρως συναθλήσαντες αὐτῷ, καὶ πολλὰ τιμωρηθέντες, καὶ μὴ πεισθέντες θῦσαι τοῖς ἀκαθάρτοις δαίμοσιν, ἀπετμήθησαν τὰς τιμίας αὐτῶν κεφαλὰς προστάξει τοῦ Μάγνου. Καὶ κατετέθησαν ἐν τῇ χώρᾳ τῆς Πισιδίας, ἐξ ἧς καὶ ἐγένοντο.

EODEM MENSE

Die Vigeſima ſecunda. 22.

Certamen Sanctorum Martyrum Marci, & Stephani.

IMperante impio Diocletiano, hi Sancti in agonem immortalitatis pro Chriſto deſcenderunt. Erant autem ex Antiochia Piſidiæ urbe; qui cùm ſumma paſſim libertate eos, qui ſe conveniebant, verbo veritatis inſtituerent, Chriſtumque verum Deum omniumque Dominum profiterentur, delati ad Magnum Præfectum, & correpti, tormentis ſubjiciuntur. Cùmque nulla ratione ſuaderi poſſent, ut Chriſtum abnegarent, cum altero cognomine Marco, qui inter Sanctos Martyres Calyntenos appellatos velut ſidus emicabat, vinculis conſtricti, acerbiſſimis omnis generis cruciatibus vexantur. Verùm in Chriſti fide perſeverantes, adduci non potuere, ut impuris dæmoniis immolarent. Quamobrem ſacris ipſorum capitibus, Magni juſſu, obtruncatis, in eadem, in qua nati erant, Piſidiæ regione ſepulti fuere. SS. Marcus, & Stephanus MM.



EODEM MENSE

23. Die Vigeſima tertia.

Certamen Sanctorum Martyrum Archippi diſcipuli Pauli Apoſtoli, & Philemonis militis.


23. Archippus, & Philemon MM. HI, Nerone imperante, diſcipuli fuerunt Sancti Pauli, & Chonis in Phrygia haud procul à Laodicæa urbe, martyrium ſubierunt. Cùm enim feſtus abominandæ Dianæ dies in ejuſdem templo Chonis à ſuperſtitioſis Græcis ageretur, iſti Sancti in ſanctiſſima eccleſia ſimul cum Chriſtianis laudes Deo decantabant. Quare facto ab idololatris in illos impetu, ceteriſque in fugam converſis, Archippus, Philemon, & Amphias ſoli conſtitere. Vincti igitur ad Androclem rei frumentariæ Epheſi Præfectum perducuntur: & Archippus quidem flagellis, ejus juſſu, cæditur: cùmque idolis ſacrificare recuſaret, in foveam injectus, atque aggere ad umbilicum uſque obrutus, puerorum ſtylis confoditur, demum lapidatur. Philemon autem fuſtibus eo uſque contunditur, dum animam efflavit.

ΜΗΝΙ' ΤΩ͂Ι ΑʼΥΤΩ͂Ι

ΚΓʹ.

Ἄθλησις τῶν ἁγίων Μαρτύρων Ἀρχίππου μαθητοῦ Παύλου τοῦ Ἀποστόλου, καὶ Φιλήμονος τοῦ στρατιώτου.

ΟὟτοι ὑπῆρχον ἐπὶ Νέρωνος τοῦ βασιλέως. Μαθηταὶ δὲ γεγονότες τοῦ ἁγίου Παύλου, ἐμαρτύρησαν ἐν Χώναις πόλει τῆς Φρυγίας, ἥτις ἐστὶ πλησίον Λαοδικείας. Ἑορτῆς γὰρ ἀγομένης τῇ μυσαρᾷ Ἀρτέμιδι, ἐν τῷ ταύτης ναῷ, τῷ ἐν Χώναις, παρὰ τῶν πεπλανημένων ἑλλήνων, οὗτοι οἱ ἅγιοι τὴν δοξολογίαν ἀνέπεμπον τῷ Θεῷ ἐν τῇ ἁγιωτάτῃ ἐκκλησίᾳ, μετὰ τῶν Χριστιανῶν. Εἶτα ἐπιθέμενοι αὐτοῖς οἱ εἰδωλολάτραι, τῶν μὲν λοιπῶν φυγόντων, μόνου δὲ Ἀρχίππου καὶ Φιλήμονος, καὶ Ἀμφίας ὑπομεινάντων, κρατήσαντες αὐτοὺς, ἤγαγον πρὸς Ἀνδροκλέα τὸν σιτοφύλακα Ἐφέσου. Τύπτεται οὖν παρ' αὐτοῦ ὁ Ἄρχιππος· καὶ μὴ πεισθεὶς θῦσαι τοῖς εἰδώλοις, εἰς βόθρον ἐμβάλλεται, καὶ χώννυται μέχρι τοῦ ὀμφαλοῦ. Καὶ ὑπὸ παίδων σχολιτῶν γραφείοις κατακεντηθεὶς ὅλον τὸ σῶμα πρότερον, ὕστερον ἐλιθοβολήθη. Εἶτα δὲ ὁ ἅγιος Φιλήμων μετὰ ξύλων τυφθεὶς ἀνηλεῶς, τελειοῦται.



ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΔ'.

Ἄθλησις τῆς ἁγίας Μάρτυρος Κικιλίας, καὶ τῶν σὺν αὐτῇ ἁγίων Βαλεριανοῦ, καὶ Τιβυρτίου.

Ἡ Μάρτυς Κικιλία ὑπῆρχεν ἐκ τῆς πόλεως Ῥώμης πλουσίων γονέων θυγάτηρ. Μνηστευθεῖσα δὲ Βαλεριανῷ, τοῦτον ἐπὶ τὴν εἰς Χριστὸν πίστιν μετήγαγεν, ἐξ ἐπιφανείας Ἀγγέλου, ὃν καὶ ὑπέδειξεν αὐτῷ. Ὁ δὲ Βαλεριανὸς ἔπεισε βαπτισθῆναι Τιβύρτιον τὸν ἀδελφὸν αὐτοῦ. Οἱ τρεῖς ἐδιδάσκοντο παρὰ Οὐρβανοῦ Ἐπισκόπου τῆς πόλεως. Τοσαύτης δὲ ἠξιώθη χάριτος ὁ Τιβύρτιος, ὡς καὶ Ἀγγέλοις καθεκάστην προσομιλεῖν. Οὗτος τὰ σώματα τῶν ἐναθλησάντων μαρτύρων θάπτων, μετὰ τοῦ Βαλεριανοῦ, διαβάλλεται τῷ ἐπάρχῳ τῆς πόλεως. Καὶ παρ' αὐτοῦ τιμωρηθέντες, παρεδόθησαν Μαξίμῳ Κατικλαρίῳ· καὶ παρ' αὐτοῦ τὰς τιμίας αὐτῶν ἀπετμήθησαν κεφαλὰς· ἐπισπασάμενοι καὶ τὸν Κατικλάριον Μάξιμον εἰς τὴν πίστιν. Ὅστις ὑπὸ τοῦ ἐπάρχου τιμωρούμενος, ἐτελειώθη. Ἡ δὲ Κικιλία εἰς λουτρὸν ἐκπυρωθὲν ἐμβληθεῖσα, καὶ τρεῖς ἡμέρας διανύσασα, καὶ μηδὲν βλαβεῖσα, ἐτμήθη τὴν κεφαλήν.

Τῇ

EODEM MENSE

Die Vigeſima quarta. 24.

Certamen Sanctæ Martyris Cæciliæ, & Sanctorum ſociorum Valeriani, & Tiburtii.

CÆcilia Martyr Romæ locupletibus parentibus nata, Valeriano in matrimonium collocata, hunc ad Chriſti fidem ob Angeli apparitionem, quem ipſi monſtraverat, traduxit. Valerianus autem Tiburtium fratrem induxit, ut baptiſmum ſuſciperet. Quos omnes Urbanus Urbis Epiſcopus docuit. Porro Tiburtius eam gratiam promeruit, ut quotidie Angelorum aſpectu & colloquio frueretur. Sed cùm & ipſe, & Valerianus corpora Martyrum ſepelirent, ad Præfectum Urbis delati, tormentiſque ſubjecti, Maximo Cubiculario traduntur, à quo veneranda eorum capita abſciſſa ſunt: ipſum tamen Cubicularium Maximum ad Chriſti fidem poſtea pertraxerunt, qui & Præfecti juſſu excruciatus vitam finivit. At verò Cæcilia in balneum ardentiſſimum conjecta, cùm triduum ibi illæſa manſiſſet, capite plexa eſt.

SS. Cæcilia, Valerianus, & Tiburtius.

Eo-



222

Eodem die

Certamen Sancti Patris noſtri ſacromartyris Siſinii Epiſcopi Cyzici.

S. Siſinius Epiſc. Cyzici.


SAcroſanctus martyr Siſinius, Diocletiano Imperatore, Cyzici Epiſcopus, Græcorum multitudinem fidem Chriſti docens, eoſque à patria idolorum ſuperſtitione ad Dominum convertens, in ejus nomine baptizabat; fideles verò confirmabat, ſuiſque monitis firmiores reddebat. Sed & eos, qui ob Chriſti nomen comprehenſi, & in carceres incluſi erant, aut tormentis ſubjecti, viſitabat, curabat, & ad martyrium fortiter ſubeundum impellebat. Quare delatus ad Diocletianum, comprehenditur: & virgis primum graviſſimè cæditur: mox ſuſpenſus, inque lateribus dilaniatus, cuſtodiæ traditur: ubi diuturna fame, ſiti, & ſexcentis aliis ærumnis confectus eſt. Poſtea eductus, atque ut Chriſtum ejuraret, fruſtra ſollicitatus, gladio finem lætus accepit.

Τῇ αὐτῇ ἡμέρᾳ

Ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Ἱερομάρτυρος Σισιννίου Ἐπισκόπου Κυζίκου.

Ὁ Ἅγιος Ἱερομάρτυς Σισίννιος ὑπῆρχεν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως, Ἐπίσκοπος Κυζίκου. Διδάσκων δὲ τὰ πλήθη τῶν ἑλλήνων τὴν εἰς Χριστὸν πίστιν, καὶ ἐπιστρέφων ἀπὸ τῆς πατροπαραδότου πλάνης τῶν εἰδώλων ἐπὶ τὸν Κύριον, καὶ βαπτίζων εἰς τὸ ὄνομα αὐτοῦ, τοὺς δὲ πιστοὺς στηρίζων, καὶ ἑδραιοτέρους ποιῶν ταῖς παραινέσεσιν, ἔτι δὲ καὶ τοὺς κρατουμένους διὰ τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ ἐν φυλακαῖς ὄντας καὶ βασάνοις ἐπισκεπτόμενος, καὶ θεραπεύων, καὶ ἐπαλείφων πρὸς τὸ μαρτύριον, διεβλήθη τῷ Διοκλητιανῷ· καὶ κρατηθεὶς, πρῶτον μὲν μαστιγοῦται, καὶ τύπτεται ἰσχυρῶς. Καὶ κρεμασθεὶς, ξέεται τὰς πλευράς. Ἔπειτα παραδίδοται φυλακῇ, καὶ λιμῷ προσπαλαίει καὶ δίψει, καὶ ἑτέραις μυρίαις θλίψεσιν. Εἶτα τῆς φυλακῆς ἐκβληθεὶς, καὶ πάλιν ἀναγκασθεὶς ἀρνήσασθαι τὸν Χριστὸν, καὶ μὴ πεισθεὶς, τὴν διὰ ξίφους χαίρων ἐδέξατο τελευτήν.

Digitized by Google



Τῇ αὐτῇ ἡμέρᾳ

Μνήμη τοῦ ἁγίου Γρηγορίου Ἐπισκόπου τῆς Ἀκραγαντίνων πόλεως.


ΕΠΙ' τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου, Χαρίτων τις καὶ Θεοδότη ἡ σύμβιος αὐτοῦ, φιλόξενοι ἄνθρωποι, ὑπῆρχον ἐν τῇ πόλει Ἀκραγαντίνων· ἐξ ὧν ἐγεννήθη Γρηγόριος οὗτος. Ὃν ἐκ τοῦ ἁγίου βαπτίσματος δεξάμενος ὁ Ἐπίσκοπος, ἀνέθρεψεν· εἶτα καὶ κληρικὸν πεποίηκεν. Ὀκτὼ καὶ δέκα δὲ ἐτῶν γενόμενος, ἀπῆλθε προσκυνήσων τοὺς ἁγίους τόπους. Καὶ γίνεται Διάκονος ὑπὸ Μακαρίου Ἐπισκόπου Ἱεροσολύμων. Εἶτα ὑπέστρεψεν εἰς τὸ Βυζάντιον· εἶτα εἰς Ῥώμην· ἐν ᾗ καὶ προχειρίζεται Ἐπίσκοπος Ἀκραγαντίνων. Ὅθεν φθονήσαντες αὐτῷ Σαβῖνος, καὶ Κρισκεντῖνος, μυρίους πειρασμοὺς ἐπήγαγον. Καὶ θαυματουργήσας διαφόρως, Θεοῦ χάριτι, κατήσχυνεν αὐτούς, καὶ μέλανας ἐποίησεν, ὥστε καὶ μέχρι τῆς σήμερον οὕτω φαίνεσθαι κατὰ γενεάν. Καὶ οὕτω παραλαβὼν τὴν ἐκκλησίαν, καὶ μυρία ἐργασάμενος θαύματα, ἐν βαθυτάτῳ γήρᾳ τὸν βίον ἀπέλιπεν.

Eodem die

Commemoratio Sancti Gregorii Epiſcopi Agrigentinorum.

JUſtiniano Rhinotmeto imperante Chariton & Theodota ejus uxor, hoſpitaliſſimi homines, in urbe Agtigentinorum degebant. Hotum filius fuit Gregorius iſte, quem è ſacro baptiſmatis fonte ſuſceptum Epiſcopus educavit, & Clericum fecit. Sed annos duodeviginti natus tùm ſacra loca inviſeret, à Macario Epiſcopo Hieroſolymitano Diaconus creatur: hinc Byzantium, deinde Romam profectus, hìc demum Agrigentinorum Epiſcopus ordinatur. Unde invidia moti Sabinus & Creſcentinus, maximum ei faceſſebant negotium, quorum tamen inſolentiam multis editis divina gratia miraculis compreſſit, eoſque nigros reddidit, ita ut ad hanc diem eorum poſteritas ita appareat. Atque eccleſiam hac ratione recipiens, patratiſque innumeris prodigiis, in extrema ſenectute vita functus eſt.

S. Gregorius Epiſc. Agrigenti.



EODEM MENSE

25. Die Vigeſima quinta.

Certamen ſacroſancti Martyris Clementis Romæ Epiſcopi.

S. Clemens Papa.

CLemens ſapientiſſimus ſanctorum Apoſtolorum diſcipulus & ſucceſſor, naufragio & fluctibus aliquando ereptus, & cum Petro Apoſtolo congreſſus, ab eo Chriſti veritatem edoctus eſt, cùm jam Græcorum ſcientiam teneret. Factus autem Evangelii præco, Apoſtolicarum Conſtitutionum ſcriptor, Epiſcopus Romæ conſtituitur. Sed à Trajano Imperatore comprehenſus, tortuſque, Ancyram Galatiæ relegatur: ubi pariete incluſus obſtructa lapidibus janua, atque legumine tantùm ſuſtentatus, in hoc ſquallore & anguſtia è vita exceſſit: cujus pretioſæ reliquiæ, ut fertur, à fidelibus quibuſdam ſublatæ, Cherſonam transferuntur, quæ in profundum maris ab idololatris projectæ innumera miracula in hanc uſque diem ad Chriſti gloriam operantur.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ

ΚΕ'.

Ἄθλησις τοῦ ἁγίου Ἱερομάρτυρος Κλήμεντος Ἐπισκόπου Ῥώμης.

